(2) Ἐπειδὴ διαφόρους χάριτας ἀνέφερον οἱ προλαβόντες Κανόνες, ἐστοχάσθημεν νὰ δώσωμεν μίαν καθολικὴν εἴδησιν περὶ αὐτῶν. Ὅθεν ἀφίνοντες τὰς περὶ χάριτος διαφόρους διαιρέσεις τῶν σχολαστικῶν, λέγομεν τὰς κοινὰς καὶ ὁμολογουμένας παρὰ πάντων τῶν θεολόγων ταύτας. Ἡ χάρις, ἄλλη μὲν λέγεται προκαταρκτικὴ καὶ φωτιστικὴ, ἥτις πᾶσιν ἀνθρώποις δίδοται, χωρὶς συνεργείας τοῦ αὐτεξουσίου· προηγεῖται γὰρ αὐτοῦ, ἵνα γνωρίσῃ ὁ ἄνθρωπος τὴν ἀλήθειαν τῶν θείων προσταγμάτων καὶ ἐλευθέρως συγκατατεθῇ. (Περὶ ταύτης τῆς χάριτος τῆς προκαταρκτικῆς λέγει ὁ Θεοφύλακτος Βουλγαρίας ἑρμηνεύων τὸ «Οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ, λέγων· Γνῶθι τὸν Κύριον.» (ἐν Κεφ. η'. τῆς πρὸς Ἑβρ.)· «Τοῦ Θεοῦ τὴν φύσιν ἡμῶν τῇ προλήψει θεώσαντος, ἔλαμψεν ἐν ταῖς πάντων ψυχαῖς τὸ τῆς ἀληθοῦς θεογνωσίας φῶς, καὶ οἷόν τις ἐπιτηδειότης ἐνετέθη τῇ ἀνθρωπίνῃ φύσει ὑπὸ τῆς χάριτος πρὸς τὸ τὸν ὄντως εἰδέναι Θεόν»)· ἄλλη δὲ λέγεται χάρις ἐνδυναμοῦσα, ἥτις ἐνισχύει τὴν ἀνθρωπίνην θέλησιν εἰς τὸ νὰ ἀγαπήσῃ τὸ ἀγαθὸν, οὐκ ἀναγκάζουσα, ἀλλὰ μεθ' ἡδονῆς αὐτὴν πείθουσα· ἄλλη συνεργοῦσα, ἥτις μετὰ τοῦ ἐνεργοῦντος τὸ ἀγαθὸν συνεργεῖ, ἵνα εἰς ἔκβασιν καὶ τέλος φέρῃ τὴν πρᾶξιν τοῦ ἀγαθοῦ· ἄλλη λέγεται διαμένουσα καὶ δικαιοῦσα, ἥτις κάμνει τὸν ἄνθρωπον νὰ διαμένῃ ἐν τῷ ἀγαθῷ μέχρι τέλους, μόνοις κληρουμένη τοῖς προωρισμένοις· ἄλλη λέγεται ἐκτικὴ καὶ καθ' ἕξιν, ἥτις εἰς βάθος εἶναι ἐγκεκολαμμένη τῷ ἀνθρώπῳ καὶ μένουσα, τόσον ὅταν ἐνεργῇ τὸ ἀγαθὸν, ὅσον καὶ ὅταν δὲν τὸ ἐνεργῇ· καὶ αὕτη μόνον τοῖς προωρισμένοις δίδοται, Θεοῦ ἀγάπη καὶ ἀρραβὼν, καὶ χάριμα ἐν ταῖς ἁγίαις Γραφαῖς ὀνομαζομένη· παρὰ δὲ τοῦ Βασιλείου ἐν τοῖς περὶ τοῦ ἁγίου Πνεύματος (Κεφ. κς'.) καὶ παρὰ τοῦ Ἀλεξανδρείας Κυρίλλου (βιβλ. δ'. εἰς τὸν Ἡσαΐαν) μὲ τὴν τέχνην παρομοιαζομένη, ἥτις ἀεὶ μὲν εὑρίσκεται καθ' ἕξιν ἐν τῷ τεχνίτῃ, οὐκ ἀεὶ δὲ, οὐδὲ ἀδιαλείπτως τὰς ἐνεργείας προβάλλει. Αἱ μὲν οὖν τρεῖς πρῶται χάριτες, ἡ προκαταρκτικὴ, λέγω, ἡ ἐνδυναμοῦσα καὶ ἡ συνεργοῦσα, δίδονται καὶ πρὸς ἐκείνους, οἵτινες πρὸς καιρὸν εὑρίσκονται ἐν τῇ ἀρετῇ καὶ χάριτι, ὕστερον δὲ ἐκπίπτοντες κολάζονται, αἱ δὲ δύω, ἡ διαμένουσα καὶ ἡ ἐκτικὴ, εἰς μόνους τοὺς προωρισμένους, ὧν τὸ αὐτεξούσιον μένει ἑδραῖον εἰς τὸ ἀγαθὸν καὶ τὴν ἀρετὴν, δι' ὃ καὶ μόναι αὗται ἐπισφραγίζουσι τὸν προορισμὸν καὶ τὰ τοῦ προορισμοῦ ἔργα καὶ ἀποτελέσματα κυρίως λέγονται. Αἱ δὲ τρεῖς ἀνωτέρω καταχρηστικῶς

ΚΑΝΩΝ ΡΚΕ'. 125.

Τῆς Καρθ. ρκ'. ρκά. ρκβ'. ρκγ'. ρκδ'. ρκς'. ρκζ'.

Ἤρεσεν ἵνα, ὅπερ εἶπεν ὁ ἅγιος Ἰωάννης ὁ Ἀπόστολος· «Ἐὰν εἴπωμεν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς ἀπατῶμεν, καὶ ἀλήθεια ἐν ἡμῖν οὐκ ἔστιν». [ά. Ἰωάν. ά. 8.] Ὅστις δήποτε οὕτω παραληπτέον νομίσῃ, ὡς εἰπεῖν διὰ ταπεινοφροσύνην μὴ ὀφείλειν λέγεσθαι ἡμᾶς μὴ ἔχειν ἁμαρτίαν, οὐχ ὅτι ἀληθῶς οὕτως ἐστὶν, ἀνάθεμα εἴη. Ἐπακολουθεῖ γὰρ ὁ Ἀπόστολος καὶ προζεύγνυσιν οὕτως· «Ἐὰν δὲ ὁμολογήσωμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ὅστις ἀφήσει ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσει ἡμᾶς ἀπὸ πάσης ἀδικίας». [Αὐτόθ. 9]. Ἔνθα πάνυ δεδήλωται τοῦτο μὴ μόνον ταπεινοφρόνως, ἀλλ' ἔτι μὴν ἀληθῶς λέγεσθαι. Ἠδύνατο γὰρ ὁ Ἀπόστολος εἰπεῖν, ἐὰν εἴπωμεν οὐκ ἔχομεν ἁμαρτίαν, ἑαυτοὺς ὑψοῦμεν, καὶ ταπεινοφροσύνη ἐν ἡμῖν οὐκ ἔστιν, ἀλλ' εἰπὼν, ἑαυτοὺς ἀπατῶμεν, καὶ ἀλήθεια ἐν ἡμῖν οὐκ ἔστιν, πάνυ ἀπέδειξε τὸν λέγοντα ἑαυτὸν μὴ ἔχειν ἁμαρτίαν, μὴ ἀληθεύειν, ἀλλὰ ψεύδεσθαι.

Ἑρμηνεία.

Ἐπειδὴ τὰ δόγματα τῶν Πελαγιανῶν ἐσυμφώνουν τρόπον τινὰ μὲ τὰ τῶν Μασσαλιανῶν (1), καθ' ὃ καὶ ἐκεῖνοι καὶ τοῦτοι τὴν ἀρχὴν τῆς σωτηρίας ἔθετον ὄχι προηγουμένως εἰς τὴν θείαν χάριν, ἀλλ' εἰς τὴν ἀνθρωπίνην δύναμιν· ἀκολούθως, ἐπειδὴ καὶ οἱ Μασσαλιανοὶ κακῶς ἐφρόνουν, ὅτι ὅταν ἔλθῃ τὸ Πνεῦμα τὸ ἅγιον εἰς τὸν ἄνθρωπον αἰσθητῶς καὶ ὁρατῶς, ἐλευθερόνει αὐτὸν ἀπὸ τὰ πάθη, καὶ πλέον δὲν χρειάζεται νὰ κάμῃ αὐτὸς νηστείας ἢ ἄλλους ἀγῶνας θεοφιλεῖς, τοιουτοτρόπως φρονοῦντες καὶ οἱ Πελαγιανοὶ, ἴσως ἔλεγον, ὅτι ἐκεῖνο ὁποῦ λέγει ὁ Ἰωάννης, τὸ, ἀνίσως εἰποῦμεν ὅτι δὲν ἔχομεν ἁμαρτίαν, πλανοῦμεν τὸν ἑαυτόν μας καὶ δὲν λέγομεν τὴν ἀλήθειαν· τοῦτο δὲν λέγεται κατὰ ἀλήθειαν ἀπὸ τοὺς ἁγίους (καθ' ὅτι δηλ. ἐλευθερωθέντες ἀπὸ τὰ πάθη διὰ τοῦ ἁγίου Πνεύματος, ἁμαρτίας εἰς τὸ ἑξῆς δὲν ἔχουν, οὔτε νὰ κάμουν ἠμποροῦν), ἀλλὰ μόνον λέγεται διὰ ταπεινοφροσύνην. Ὅθεν τοὺς τοῦτο λέγοντας ἀναθεματίζει ὁ παρὼν Κανὼν, ὡς παρεξηγοῦντας αὐτό. Λέγει γὰρ ἀκολούθως ὁ ἴδιος Ἰωάννης, ἀνίσως δὲ ὁμολογοῦμεν τὰς ἁμαρτίας μας, πιστὸς καὶ δίκαιος εἶναι ὁ Κύριος, ὅστις θέλει συγχωρήσει τὰς ἁμαρτίας μας, καὶ θέλει μᾶς καθαρίσει ἀπὸ κάθε ἀδικίαν. Ἀπὸ τὰ ὁποῖα λόγια γίνεται φανερὸν, ὅτι ὄχι διὰ ταπείνωσιν, ἀλλὰ κατὰ ἀλήθειαν ἀπὸ τοὺς ἁγίου λέγεται τὸ ἄνωθεν ρητὸν, ἐπειδὴ ἠμποροῦσε νὰ εἰπῇ ὁ Ἀπόστολος, ἀνίσως εἰποῦμεν ὅτι δὲν ἔχομεν ἁμαρτίαν, ὑπερηφανευόμεθα, καὶ ταπεινοφροσύνη δὲν εἶναι εἰς ἡμᾶς. Ὅθεν τοῦτο οὐ λέγων, ἀποδεικνύει, ὅτι ἐκεῖνος ὁποῦ λέγει, ὅτι δὲν ἔχομεν ἁμαρτίαν, δὲν ἀληθεύει, ἀλλὰ ψεύδεται (2).

ΚΑΝΩΝ ΡΚϛ'. 126.

Τῆς Καρθ· ρκ'. ρκά. ρκβ'. ρκγ'. ρκδ'. ρκέ. ρκζ'.

Ἤρεσεν ἵνα, ὅστις δήποτε εἴποι ἐν τῇ Δεσποτικῇ εὐχῇ, διὰ τοῦτο λέγειν τοὺς ἁγίους, «ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν», [Ματθ. ϛ'. 12.] οὐχ ὅτι ὑπὲρ ἑαυτῶν τοῦτο λέγουσιν, ἐπειδὴ αὐτοῖς λοιπὸν οὐκ ἔστιν ἀναγκαία αὕτη ἡ αἴτησις, ἀλλ' ὑπὲρ ἄλλων, τῶν ὄντων ἐν τῷ λαῷ αὐτῶν ἁμαρτωλῶν, καὶ μὴ λέγειν ἕνα ἕκαστον τῶν ἁγίων. ἄφες μοι τὰ ὀφειλήματά μου, ἀλλ' «ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν», [Λουκ. ιά. 4.] ὡς ὑπὲρ ἄλλων τούτων μᾶλλον, ἢ ὑπὲρ ἑαυτοῦ τὸν δίκαιον αἰτοῦντα νοεῖσθαι, ἀνάθεμα εἴη. Ἅγιος γὰρ καὶ δίκαιος ἦν Ἰάκωβος ὁ Ἀπόστολος, ὅτε ἔλεγεν· «Ἐν πολλοῖς γὰρ ἁμαρτάνομεν πάντες.» [Ἰακὼβ γ'. 2.] Ἐπεὶ, διὰ τί προστίθεται τὸ, πάντες; εἰ μὴ, ἵνα ἡ ἔννοια αὕτη ἁρμοσθῇ, καὶ (3) τῷ ψαλμῷ, ὅπου ἀναγινώσκεται· «Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν». [Ψαλμ. ρμϐ'. 2]. Καὶ ἐν τῇ εὐχῇ τοῦ Σολομῶντος τοῦ σοφωτάτου· «Οὐκ ἔστιν ἄνθρωπος, ὃς οὐχ ἥμαρτε». [γ'. Βασιλ. ή. 46]. Καὶ ἐν τῇ βίβλῳ τοῦ ἁγίου Ἰὼβ τὸ, «Ἐν χειρὶ παντὸς ἀνθρώπου» σημαίνει, ὥστε εἰδέναι πάντα ἄνθρωπον τὴν ἀσθένειαν αὐτοῦ. [Ἰὼβ λζ'. 7.] Ὅθεν ἔτι μὴν ὁ ἅγιος καὶ δίκαιος Δανιὴλ ὁ Προφήτης, πληθυντικῶς λέ-

ἔργα τοῦ προορισμοῦ ὀνομάζονται, καθ' ὃ τὴν σωτηρίαν εἰς τὸν σωζόμενον εὐκολύνουσι (Παρὰ τῷ θεολογικῷ τοῦ Κορεσσίου).

(1) Δι' ὃ καὶ ἡ γ'. Σύνοδος ὁμοῦ μὲ τοὺς Κελεστιανοὺς τούτους ἢ Πελαγιανοὺς καθεῖλον καὶ τοὺς Ἐνθουσιαστὰς καὶ Εὐχίτας, ἤτοι Μασσαλιανούς. Ὅρα Δοσίθεον σελ. 278. καὶ εἰς τὰ ἐκείνης πρακτικά.

(2) Σημείωσαι ὅτι ἁμαρτίας ἐννοεῖ ἐδῶ ὁ Κανὼν, ὄχι τὰς θανασίμους (διατὶ αὐτὰς κάμνοντες οἱ ἅγιοι δὲν μένουσι πλέον ἅγιοι), ἀλλὰ τὰς συγγνωστὰς, αἱ ὁποῖαι, οὔτε τὴν πρὸς Θεὸν καὶ τὴν πρὸς τὸν πλησίον ἀγάπην φθείρουν, οὔτε κάμνουν τὸν ἄνθρωπον ἐχθρὸν τοῦ Θεοῦ καὶ ἔνοχον εἰς τὸν αἰώνιον θάνατον, εἰς τὰς ὁποίας εἶναι ὑποκείμενοι καὶ αὐτοὶ οἱ ἅγιοι, καὶ μένουσι πάλιν ἅγιοι (πλὴν μόνου τοῦ Χριστοῦ καὶ τῆς Θεοτόκου) αὐταὶ δὲ εἶναι, κατὰ τὸν Κορέσσιον καὶ τὸν Χρύσανθον, ὁ ἀργὸς λόγος, ἡ πρώτη κίνησις τοῦ θυμοῦ, ἡ τῆς ἐπιθυμίας, τὸ παιγνιῶδες ψεῦδος καὶ τὰ ὅμοια. Μόνος γὰρ ὁ Θεὸς εἶναι πάντη ἀκίνητος εἰς τὸ κακὸν, Ἄγγελοι δὲ καὶ ἅγιοι, ἂν ἦναι τέλειοι, ἀκίνητοι μὲν τελείως δὲν εἶναι εἰς τὸ κακὸν, ἀλλὰ δυσκολοκίνητοι, καὶ πολλῷ μᾶλλον οἱ ἅγιοι, ὡς σῶμα φοροῦντες, καὶ ὡς ὑπὸ τοῦ ἐχθροῦ πολεμούμενοι, εὐκολώτερα ἀπὸ τοὺς Ἀγγέλους δύνανται εἰς τὸ κακὸν νὰ τραποῦν.

(3) Ἴσως καὶ ἐν τῷ ψαλμῷ γέγραπται δηλ.

γων, τὸ, «Ἡμάρτομεν, ἠνομίσαμεν» [Δανιὴλ θ'. 5.] καὶ τὰ λοιπά, ἃ ἐκεῖ ταπεινοφρόνως καὶ ἀληθινῶς ὁμολογεῖ, ἵνα μὴ νομισθείη, ὥς τινες νοοῦσι τοῦτο, μὴ περὶ τῶν ἰδίων, ἀλλὰ περὶ τῶν τοῦ λαοῦ αὐτοῦ μᾶλλον λέγειν ἁμαρτιῶν. Μετὰ ταῦτα εἶπεν, ὅτι «Ηὐχόμην καὶ ἐξωμολογούμην τὰς ἁμαρτίας μου, καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου Κυρίῳ τῷ Θεῷ μου.» [αὐτόθ. 20]. Οὐκ ἠθέλησεν εἰπεῖν τὰς ἁμαρτίας ἡμῶν, ἀλλὰ τοῦ λαοῦ αὐτοῦ εἶπε καὶ ἑαυτοῦ, ἐπειδὴ τούτους μέλλοντας κακῶς νοεῖν, ὡσανεὶ προεῖδεν ὁ Προφήτης.

Ἑρμηνεία.

Καὶ οὗτος ὁ Κανὼν περὶ τῆς ὁμοίας μὲ τὴν ἀνωτέρω φρενοβλαβείας τῶν Πελαγιανῶν ἀναφέρει· ἀναθεματίζει γὰρ αὐτοὺς λέγοντας, ὅτι οἱ ἅγιοι, ὅταν λέγουσιν εἰς τὴν Κυριακὴν προσευχὴν τοῦ, Πάτερ ἡμῶν, τὸν λόγον τοῦτον, Ἄφες εἰς ἡμᾶς τὰς ἁμαρτίας μας, δὲν τὸ λέγουν διὰ λόγου των, ἐπειδὴ αὐτοὶ δέησιν τοιαύτην δὲν χρειάζονται ὡς ἀπαθεῖς καὶ ἀναμάρτητοι, ἀλλὰ τὸ λέγουν διὰ τὰς ἁμαρτίας τῶν ἄλλων· διότι καὶ ὁ ἅγιος Ἰάκωβος ὁ Ἀδελφόθεος λέγει· Πολλὰ σφάλλομεν ὅλοι μας. Καὶ ὁ Δαβίδ· Μὴ ἔλθῃς, Κύριε, εἰς κρίσιν μὲ τὸν δοῦλόν σου ἐμένα, ἐπειδὴ δὲν ἠμπορεῖ νὰ φανῇ δίκαιος ἔμπροσθέν σου κανένας ζωντανὸς ἄνθρωπος. Καὶ ὁ Σολομὼν εἰς τὴν εὐχὴν ὁποῦ ἔκαμεν εἰς τὸν Θεὸν, ἀφ' οὗ ἔκτισε τὸν Ναὸν, λέγει· Δὲν εἶναι ἄνθρωπος εἰς τὸν κόσμον, ὅστις δὲν ἥμαρτε. Καὶ ὁ Ἰώβ· Τὰς χεῖρας τοῦ ἀνθρώπου κατασφραγίζει διὰ νὰ γνωρίσῃ κάθε ἄνθρωπος τὴν ἀσθενειάν του (1). Ἀλλὰ καὶ ὁ προφήτης Δανιὴλ προσευχόμενος, λέγει μὲν πρῶτον πληθυντικῶς· Ἡμάρτομεν, ἠνομήσαμεν· ἔπειτα ἐπιφέρει ἑνικῶς ὅτι· Ἐξομολογούμην τὰς ἁμαρτίας μου, καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου· καὶ τοῦτο οὕτω καθαρῶς λέγει, διὰ νὰ μὴ νομίσῃ τινὰς, ὅτι εἶπε διὰ τὰς ἁμαρτίας τοῦ λαοῦ του, καὶ ὄχι διὰ τὰς ἐδικάς του, προφητικῶς ἐπιστομίζων τοὺς τοῦτο κακῶς μέλλοντας εἰπεῖν.

ΚΑΝΩΝ ΡΚΖ'. 127.

Τῆς Καρθ. ρκ'. ρκά. ρκβ'. ρκγ'. ρκδ'. ρκέ. ρκς'.

Ἤρεσεν, ἵνα οἵτινες δήποτε τὰ ῥήματα τῆς Δεσποτικῆς εὐχῆς, ἅπερ λέγομεν· «Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν», [Ματθ. ς'. 12. Λουκ. ιά. 4.] οὕτω βούλονται ἀπὸ τῶν ἁγίων λέγεσθαι, ὡς ταπεινοφρόνως καὶ οὐκ ἀληθῶς ταῦτα λεχθῆναι, ἀνάθεμα εἴη. Τίς γὰρ ὑπενέγκοι τὸν εὐχόμενον, μὴ ἀνθρώποις, ἀλλ' αὐτῷ τῷ Κυρίῳ, ψευδόμενον; τὸν τοῖς χείλεσιν αὐτοῦ λέγοντα, τὰς ὀφειλούσας ἀφεθῆναι ἁμαρτίας αὐτῷ, μὴ ἔχειν;

Ἑρμηνεία.

Καὶ οὗτος ὁ Κανὼν ἀναθεματίζει τοὺς Πελαγιανοὺς λέγοντας, ὅτι οἱ ἅγιοι δὲν λέγουσι κατὰ ἀλήθειαν τὸ, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ἐπειδὴ αὐτοὶ, ἁμαρτίας καὶ ὀφειλήματα δὲν ἔχουσιν, ἀλλὰ διὰ ταπεινοφροσύνην καὶ μετριότητα. Διότι, ποῖος, λέγει, θέλει ὑπομείνει τοὺς τοῦτο λέγοντας ἁγίους νὰ ψεύδωνται, ὄχι εἰς τοὺς ἀνθρώπους, ἀλλὰ εἰς τὸν Θεόν; καὶ μὲ τὰ χείλη μὲν νὰ ζητοῦσι συγχώρησιν τῶν ἁμαρτιῶν τους, μὲ τὴν καρδίαν δὲ νὰ λογιάζουν, ὅτι ἁμαρτίας δὲν ἔχουν; θεομπαιξία γὰρ τοῦτο, καὶ ὄχι προσευχὴ νομίζεται, ὅπερ ἐπὶ τῶν ἁγίων, καὶ νοῆσαι μόνον, εἶναι ἄτοπον (2).

ΚΑΝΩΝ ΡΚΗ'. 128.

Τῆς Καρθ. νέ. ξς'. οέ. ος'. οζ'. οή. ρά. ρβ'. ρκθ'.

Ἤρεσεν, ἐπειδὴ πρό τινων ἐνιαυτῶν ἐν ταύτῃ τῇ Ἐκκλησίᾳ πεπληρωμένῃ τῇ Συνόδῳ ὡρίσθη ἵνα, οἱαδήποτε Ἐκκλησίαι, διοικήσει καθεστῶσαι, πρὸ τῶν νόμων τῶν περὶ τῶν Δονατιστῶν ἐκτεθέντων, καθολικαὶ γένωνται, ἐκείνοις τοῖς θρόνοις ἀνήκωσιν, ὧν τινων διὰ τῶν Ἐπισκόπων προτραπεῖσαι, τῇ καθολικῇ ἑνότητι ἐκοινώνησαν. Μετὰ δὲ τοὺς νόμους, οἱαδήποτε ἐκοινώνησαν, ἐκείνοις ἀνήκωσιν, οἷς καὶ ὅτε ἦσαν εἰς τὸ μέρος τοῦ Δονάτου. Καὶ πολλαὶ φι-

(1) Τὸ ῥητὸν τοῦτο, ἄλλως μὲν εὕρηται παρὰ τῷ Ἰὼβ (Κεφ. λζ'. 67.) «χειμὼν καὶ ὑετὸς καὶ χειμὼν ὑετῶν δυναστείας αὐτοῦ. Ἐν χειρὶ παντὸς ἀνθρώπου κατασφραγίζει, ἵνα γνῶ πᾶς ἄνθρωπος τὴν ἑαυτοῦ ἀσθένειαν». Ὅπερ ἑρμηνεύων ὁ Ὀλυμπιόδωρος ἐν τῇ σειρᾷ τοῦ Ἰὼβ λέγει, ὅτι ὁ χειμὼν κατασφραγίζει, ἤγουν ὡσὰν νὰ δένῃ τὰ χέρια τῶν ἀνθρώπων, ἐμποδίζοντας αὐτοὺς ἀπὸ τὸ νὰ ἐργάζωνται εἰς τὰ ἔξω, καὶ τοῦτο γίνεται κατὰ πρόνοιαν Θεοῦ, διὰ νὰ ταπεινωθῇ ὁ ἄνθρωπος καὶ νὰ γνωρίσῃ τὴν ἀσθένειαν καὶ ἀδυναμίαν τῆς φύσεώς του, οἱ δὲ Πατέρες τῆς παρούσης Συνόδου τὴν ἀσθένειαν ἐδῶ ἐνόησαν τὴν πρὸς τὰς ἁμαρτίας κλίσιν καὶ ροπὴν τοῦ ἀνθρώπου.

(2) Προσφυέστατα προσαρμόζονται τὰ λόγια τοῦ παρόντος Κανόνος εἰς τοὺς θεομπαίκτας καὶ ἀνοήτους ἐκείνους, οἱ ὁποῖοι ὄντες ζωντανοὶ, κάμνουσι τὰ μνημόσυνά των, ὡσὰν νὰ ἦσαν ἀποθανόντες. Ποῖος γὰρ θέλει ὑπομείνει καὶ αὐτοὺς νὰ ψεύδωνται; ὄχι εἰς τοὺς ἀνθρώπους, ἀλλ' εἰς τὸν Θεόν; καὶ μὲ τὰ χείλη μὲν νὰ λέγωνται καὶ νὰ μνημονεύωνται ὡς νεκροὶ καὶ ἀποθανόντες πρὸ πολλοῦ, τῇ δὲ ἀληθείᾳ καὶ τῷ πράγματι νὰ ἦναι ζωντανοί; Καὶ δύναται νὰ εὑρεθῇ μεγαλητέρα μωρία καὶ θεομπαιξία ἀπὸ αὐτήν; ὅθεν οἱ τοῦτο ποιοῦντες ἂς μὴ κάμνουν εἰς τὸ ἑξῆς τὸ τοιοῦτον ἄτοπον.

λονεικίαι ὕστερον μεταξὺ τῶν Ἐπισκόπων περὶ τῶν διοικήσεων ἀνεφύησαν καὶ ἀναφύονται, οἷς τότε οὐ τελεία δοκεῖ γενέσθαι πρόνοια, νῦν ἐν ταύτῃ τῇ ἁγίᾳ Συνόδῳ ἤρεσεν ἵνα, ὅπου δήποτε καθολικὴ ἐγένετο τοῦ μέρους τοῦ Δονάτου, καὶ διαφόροις θρόνοις ἀνήκουσαι ἦσαν, ἐν οἱῳδήποτε καιρῷ ἕνωσις ἐκεῖ ἐγένετο, ἢ ἔσται, εἴτε πρὸ τῶν νόμων, εἴτε μετὰ τοὺς νόμους, ἐκείνῳ τῷ θρόνῳ ἀνήκωσιν, ᾧ τινι ἡ ἔκπαλαι ἐκεῖ ὑπάρξασα καθολικὴ ἀνῆκεν (1) οὕτω δηλαδὴ, ἵνα, εἴπερ Ἐπίσκοποι ἀπὸ τῶν Δονατιστῶν πρὸς τὴν καθολικὴν ἑνότητα ἐπέστρεψαν, ἐξίσου πρὸς ἀλλήλους διέλωσι τὰς οὕτως εὑρισκομένας διοικήσεις, ἔνθα ἦσαν ἀμφότερα τὰ μέρη, τουτέστιν, ἵνα ἄλλοι τόποι πρὸς ἐκεῖνον, καὶ ἄλλοι πρὸς ἐκεῖνον ἀνήκωσιν οὕτως, ἵνα ὁ παλαιότερος ἐν τῇ Ἐπισκοπῇ μερίζῃ, καὶ ὁ ἥττων ἐπιλέγηται. Εἰ δὲ τυχὸν εἰς ἔσται τόπος, προσχωρήσῃ, ᾧ τινι μᾶλλον γειτνιάζων εὑρίσκεται. Ἐὰν δὲ ἀμφοτέροις τοῖς θρόνοις ἴσως γειτνιάζῃ, ἐκείνῳ παραχωρηθῇ, ὃν τὸ πλῆθος ἐπιλέξηται. Εἰ δὲ τυχὸν οἱ ἀρχαῖοι καθολικοὶ τὸν ἴδιον θελήσουσι, καὶ οἱ ἐκ τοῦ μέρους τοῦ Δονάτου μεταστρέψαντες τὸν ἴδιον, τῶν πλειόνων ἡ γνώμη προτιμηθῇ τῶν ὀλιγωτέρων. Εἰ δὲ τὰ μέρη εἰσὶν ἴσα, τῷ παλαιοτέρῳ Ἐπισκόπῳ καταλογισθείη. Ἐὰν δὲ οὕτω πλεῖστοι οἱ τόποι εὑρεθῶσιν, ἐν οἷς ἀμφότερα τὰ μέρη εἰσὶν, ὡς μὴ δύνασθαι ἐξίσου μερισθῆναι, τοῦ ἀριθμοῦ τῶν αὐτῶν τόπων ἀνίσου ὑπάρχοντος, πρῶτον μερισθῶσιν οἱ ἴσοι ἀριθμοὶ, καὶ τῷ ἀπομένοντι τοῦτο φυλαχθῇ, ὅπερ ἀνωτέρω λέλεκται, ὅτε περὶ τοῦ ἑνὸς ἐζητεῖτο τόπου.

Ἑρμηνεία.

Ἐπειδὴ πολλαὶ ἀμφιβολίαι ἐγίνοντο ἀνάμεσα εἰς τοὺς Ἐπισκόπους, περὶ τοῦ ποῖος ἐξ αὐτῶν νὰ πάρῃ τοὺς ἀπὸ Δονατιστῶν ἐπιστρέφοντας, διορίζει ὁ παρὼν Κανὼν, ὅτι πρὸ μὲν τῶν Βασιλικῶν νόμων τῶν περὶ ἑνότητος θεσπιζομένων, ἐδιωρίσθη (Καν. ρί.) νὰ ὑπόκηνται εἰς τὸν Ἐπίσκοπον ἐκεῖνον, ἀπὸ τὸν ὁποῖον ἐπέστρεψαν, μετὰ δὲ τοὺς νόμους νὰ ὑπόκηνται εἰς τοὺς πλησιοχώρους ὄντας τῶν Δονατιστῶν καθολικοὺς Ἐπισκόπους. Τώρα δὲ πάλιν εἰς λύσιν τελείαν τῶν ἀναφυομένων ἀμφιβολιῶν, ὁρίζει ἡ Σύνοδος, ὅτι οἱ τόποι τῶν ἐκ τῶν Δονατιστῶν ἐπιστρεψάντων νὰ ὑπόκηνται εἰς τὸν Ἐπίσκοπον ἐκεῖνον, εἰς τὸν ὁποῖον ἦτο ὑποκειμένη ἡ τοῦ τόπου τῶν Δονατιστῶν παλαιόθεν εὑρισκομένη ὀρθόδοξος Ἐκκλησία. Μὲ τοιοῦτον τρόπον δηλ. ὅτι, ἂν οἱ τόποι εὑρίσκωνται ἀνάμεσα εἰς δύω ἐπιστρέψαντας ἐκ τῶν Δονατιστῶν Ἐπισκόπους, καὶ οἱ δύω ἐξίσου νὰ μοιράζουν αὐτούς, καὶ ὁ μὲν παλαιότερος νὰ μοιράζῃ, ὁ δὲ νεώτερος νὰ διαλέγῃ. Εἰ δὲ ἕνας τόπος εἶναι περὶ τοῦ ὁποίου μάχονται, αὐτὸς νὰ ὑπόκηται εἰς τὸν περισσότερον γειτονεύοντα. Εἰ δὲ καὶ εἰς τοὺς δύω θρόνους αὐτῶν ἴσα συνορεύει, νὰ ὑπόκηται εἰς τὸν Ἐπίσκοπον ἐκεῖνον ὅπου θελήσῃ τὸ πλῆθος. Εἰ δὲ καὶ οἱ δύω ζητοῦσι τὸν αὐτὸν τόπον ὁλόκληρον, τῶν περισσοτέρων ἡ γνώμη ἂς ὑπερνικᾷ τὴν τῶν ὀλιγωτέρων. Εἰ δὲ καὶ τὰ δύω μέρη εἶναι ἴσα, τὸν τόπον νὰ ἐξουσιάζῃ ὁ παλαιότερος. Ἐὰν δὲ οἱ τόποι ἦναι πολλοὶ, ἂς μοιράζουν μὲν ἐξίσου καὶ οἱ δύω τοὺς ἴσους, καὶ ἂν ἀπομείνῃ ἕνας μόνος τόπος, ἂς ὑπόκηται ἢ εἰς τὸν μᾶλλον γειτονεύοντα, ἢ εἰς ἐκεῖνον ὅπου θελήσῃ τὸ πλῆθος, ἂν ἴσα μὲν καὶ εἰς τοὺς δύω. Ἀνάγνωθι καὶ τὸν νέ. τῆς παρούσης.

ΚΑΝΩΝ ΡΚΘ'. 129.

Τῆς δ'. ιζ'. τῆς Καρθ. νέ. ξς'. οέ. ος'. οζ'. ρά. ρβ'. ρί. ρκή. ρλά.

Ἤρεσεν ἵνα, ἐάν τις μετὰ τοὺς νόμους, τόπον τινὰ πρὸς τὴν καθολικὴν ἑνότητα μεταστρέψῃ, καὶ τοῦτον ἐπὶ τριετίαν μηδενὸς ἀναζητοῦντος κατάσχῃ, τοῦ λοιποῦ παρ' αὐτοῦ μὴ ἀναζητηθῇ, ἐὰν μέν τοι ἐντὸς τῆς αὐτῆς τριετίας ὑπῆρχεν Ἐπίσκοπος ὁ ὀφείλων ἀναζητῆσαι καὶ ἠσύχασεν· εἰ δὲ μὴ ἦν, μὴ προκριματισθῇ ἐν τῇ Μάτρικι, ἀλλ' ὅτε ὁ χηρεύων τόπος λάβῃ Ἐπίσκοπον, ἐξὸν εἴη αὐτῷ ἀπ' αὐτῆς τῆς ἡμέρας ἐντὸς τριετίας ἀναζητῆσαι. Ὁμοίως δὲ καὶ ἐὰν Ἐπίσκοπος ἐκ τῶν τοῦ Δουνάτου μερῶν πρὸς τὴν καθολικὴν ἐπιστρέψῃ, μὴ προκριματισθείη ἐν τῇ Μάτρικι περὶ τοῦ ὁρισθέντος χρόνου, ἀλλ' ἐξ ἧς ἡμέρας ἐπέστρεψεν, ἐχέτω ἐξουσίαν ἀναζητεῖν ἐντὸς τριετίας τοὺς τόπους τῇ αὐτοῦ ἀνήκοντας καθέδρᾳ.

Ἑρμηνεία.

Καὶ οὗτος τελευταῖον ὁ Κανὼν περὶ τῶν τόπων τῶν Δονατιστῶν, καὶ ἁπλῶς τῶν ἀπὸ αἱρετικῶν ἐπιστραφέντων διορίζει, λέγων ὅτι ἐάν τινας Ἐπίσκοπος καθολικὸς, μετὰ τοὺς νόμους τοὺς περὶ ἑνότητος (Κανὼν ρί.) ἐπιστρέψῃ τόπον αἱρετικῶν πρὸς τὴν ὀρθοδοξίαν, καὶ κρατήσῃ αὐτὸν τρεῖς χρόνους, χωρὶς νὰ τὸν ζητῇ τινὰς, μετὰ τοὺς τρεῖς χρόνους νὰ μὴ ἠμπορῇ πλέον νὰ τὸν πάρῃ τινὰς ἀπὸ αὐτόν· ἂν δὲ ἡ Ἐπισκοπὴ ἐκείνη, τῆς ὁποίας ἦτον ὁ τόπος, δὲν εἶχεν Ἐπίσκοπον, καὶ ἀνάμεσα εἰς τοὺς τρεῖς χρόνους χειροτονηθῇ Ἐπίσκοπος εἰς αὐτὴν, εἶναι ἄδεια εἰς αὐτὸν νὰ ζητῇ τὸν τόπον αὐτὸν ὡς ἐδικόν του, καὶ οὐ προκριματισθείη ἐν τῇ Μάτρικι, ἤγουν δὲν θέλει βλαβῆ καὶ χάσει τὸν τόπον αὐτὸν, μὲ τὸ νὰ ἐγράφη αὐτὸς εἰς τὸν πρωτότυπον Κώδηκα καὶ

(1) Τὸ ἀκόλουθον μέρος τοῦ Κανόνος εὑρίσκεται διηρημένον | παρὰ τοῖς ἐξηγηταῖς, καίτοι ἡνωμένον, ἔχον ἀριθμὸν Κανόνος 122.

μάνναν τῆς νεμηθείσης εἰς αὐτὸν ξένης Ἐκκλησίας, ἀλλὰ θέλει λάβει αὐτὸν ὀπίσω, ἐὰν μέσα εἰς τρεῖς χρόνους αὐτὸν ζητήσῃ (1). Ὁμοίως δὲ καὶ ἐάν τις Ἐπίσκοπος Δονατιστὴς ἐπιστρέψῃ εἰς τὴν ὀρθοδοξίαν, ἠμπορεῖ καὶ αὐτὸς νὰ ζητῇ ἀπὸ τὴν ἡμέραν ὁποῦ ἐπέστρεψε τὸν ἀνήκοντα τόπον του, τὸν κρατούμενον μέσα εἰς τρεῖς χρόνους ἀπὸ ἄλλον καθολικὸν Ἐπίσκοπον. Ὅρκ καὶ τὸν νέ. τῆς παρούσης, καὶ τὸν ιζ'. τῆς δ'.

ΚΑΝΩΝ ΡΑ'. 130.

Ἤρεσεν ἵνα, οἱοιδήποτε Ἐπίσκοποι τὰ πλήθη, ἃ νομίζουσι τῷ θρόνῳ αὐτῶν ἀνήκειν, μὴ οὕτως ἀναζητῶσιν, ὥστε ἄλλων Ἐπισκόπων κρινόντων, τοῦτο πράττειν, ἀλλ' ὑπὸ ἑτέρου κατεχομένοις ἐπέλθωσι τοῖς λαοῖς, εἴτε θέλουσιν, εἴτε μὴ θέλουσι τοῦ ἰδίου πράγματος τὴν ζημίαν ὑπομείνωσι. Καὶ οἵτινες δήποτε τοῦτο ἐποίησαν, εἰ μὴ ἡ μεταξὺ τῶν Ἐπισκόπων συνέλευσις ἐπερωτηθῇ, ἀλλ' ἀκμὴν περὶ τοῦ αὐτοῦ φιλονεικοῦσιν, ἐκεῖνος ἀποστῇ ἐκεῖθεν, περὶ οὗ δειχθείη, ὅτι παρεάσας τοὺς ἐκκλησιαστικοὺς δικαστὰς, ἔφοδον ἐποίησε. Καὶ μὴ ἑαυτόν τις κολακεύσῃ, εἰ ἐκ τοῦ πρωτεύοντος γράμματα περὶ τοῦ κατέχειν ἔλαβεν· ἀλλ' εἴτε γράμματα ἔχει, εἴτε οὐκ ἔχει, συνέλθοι τῷ κατέχοντι, καὶ παρ' αὐτοῦ γράμματα λάβοι, ὥστε φανῆναι τοῦτον εἰρηνικῶς τὴν αὐτῷ ἀνήκουσαν κατασχεῖν Ἐκκλησίαν. Ἐὰν δὲ κἀκεῖνός τινα ζήτησιν ἀντεναγάγῃ, καὶ αὐτὴ περατωθῇ μεταξὺ Ἐπισκόπων κρινόντων, εἴτε οὓς ὁ πρωτεύων αὐτοῖς δῷ, εἴτε οὓς γειτνιῶντας κατὰ συναίνεσιν ἐπιλέξωνται.

Ἑρμηνεία.

Ἐμποδίζει ὁ παρὼν Κανὼν τὸ νὰ μεταχειρίζωνται οἱ Ἐπίσκοποι δυναστείαν, ἀλλὰ μετὰ κρίσεως τῶν Ἐπισκόπων αὐτῶν νὰ ζητοῦσι τοὺς λαοὺς ἐκείνους, ὁποῦ νομίζουν ὅτι ἀνήκουσιν εἰς αὐτούς. Εἰ δὲ δυναστικῶς ζητήσουν νὰ πάρουν αὐτοὺς, εἴτε ἐκεῖνοι θέλουν, εἴτε δὲν θελουν αὐτοὺς Ἐπισκόπους, οὗτοι νὰ χάνουν τοὺς τοιούτους λαοὺς, κἂν καὶ δίκαιον εἶχον νὰ τοὺς λάβουν, διὰ τὴν δυναστείαν ὁποῦ ἐμεταχειρίσθησαν. Ἀλλὰ καὶ ἐὰν οἱ δύω Ἐπίσκοποι, οἱ περὶ τῶν λαῶν τούτων μαχόμενοι, ἔλθουν εἰς κρίσιν τῶν Ἐπισκόπων, πρὸ τοῦ δὲ νὰ τελειωθῇ ἡ κρίσις, ἀλλ' ἔτι φιλονεικουμένου τοῦ πράγματος, ὁ ἕνας ἀπὸ αὐτοὺς ἀφήσῃ μὲν τὴν κρίσιν τῶν Ἐπισκόπων, μεταχειρισθῇ δὲ ἔφοδον καὶ δυναστείαν, καὶ οὗτος νὰ χάνῃ τοὺς λαοὺς ἐκείνους, κἂν καὶ δίκαιον εἶχε νὰ τοὺς λάβῃ. Ἂς μὴ κολακεύσῃ δὲ, ἤτοι ἂς μὴ ἀπατήσῃ τινὰς τὸν ἑαυτόν του, καὶ μεταχειρισθῇ τὴν δυναστείαν ταύτην, προφασιζόμενος ὅτι ἔλαβε γράμματα ἀπὸ τὸν Μητροπολίτην αὐτῶν, διὰ νὰ πάρῃ τὸν λαὸν ἐκεῖνον· διότι, εἴτε ἔχοι, εἴτε δὲν ἔχοι τοιοῦτον γράμμα, πρέπει νὰ λάβῃ καὶ γράμμα δηλωτικὸν, ὅτι μετὰ εἰρήνης ἔλαβε τὴν ἀνήκουσαν εἰς αὐτὸν Ἐκκλησίαν ἀπὸ τὸν προκρατοῦντα ταύτην Ἐπίσκοπον (εἰ δὲ τοῦτο οὐ ποιήσῃ, νὰ χάνῃ τὸ δικαιόν του) (2). Ἐὰν δὲ ὁ ἐναγόμενος Ἐπίσκοπος παρομοίως ἐνάγῃ τὸν ἐνάγοντα, ἡ κρίσις αὕτη νὰ θεωρῆται ἀπὸ Ἐπισκόπους, εἴτε ἐκείνους ὁποῦ ὁ Μητροπολίτης ἤθελε δώσει, εἴτε ἐκείνους ὁποῦ αὐτοὶ διαλέξουν, γειτνιῶντας καὶ πλησιοχώρους. Ἀνάγνωθι καὶ τὸν ιζ'. τῆς δ'.

ΚΑΝΩΝ ΡΑΑ'. 131.

Ἤρεσεν ἵνα, οἵτινες δήποτε ἀμελῶσι τῶν τόπων, τῶν ἀνηκόντων τῇ αὐτῶν καθέδρᾳ, πρὸς τὸ τούτους κερδᾶναι εἰς τὴν καθολικὴν ἑνότητα, ἐγκληθῶσιν ἀπὸ τῶν γειτνιώντων αὐτοῖς ἐπιμελῶν Ἐπισκόπων, περὶ τοῦ, μὴ ἀναβάλλεσθαι τοῦτο πράξαι. Διὸ, ἐὰν ἐντὸς προθεσμίας μηνῶν ἓξ, ἀπὸ τῆς ἡμέρας τῆς περὶ τούτου συνελεύσεως, μηδὲν ἀνύσωσι, τῷ δυναμένῳ λοιπὸν τούτους κερδᾶναι προσκυρωθῶσιν. Οὕτω μέντοι ἵνα, ἐὰν ἐκεῖνος, πρὸς ὃν δείκνυνται ἀνήκειν οἱ τοιοῦτοι, ἐξεπίτηδες διά τινα οἰκονομίαν ἔδοξεν ἀμελεῖν, τοῦτο τῶν αἱρετικῶν ἐπιλεξαμένων, ὥστε ἀθορύβως αὐτοὺς παραδέξασθαι. Καὶ ἐν τοσούτῳ ἡ αὐτοῦ ἐπιμέλεια ἀπὸ ἑτέρου προελήφθη, ἤ τινι, εἰ κατεχρήσατο, τοὺς αὐτοὺς αἱρετικοὺς πλέον ἐκάκιζε τούτου, μεταξὺ Ἐπισκόπων κρινόντων, διαγινωσκομένου, οἱ τόποι τῇ αὐτοῦ καθέδρᾳ ἀποκατασταθῶσι. Τῶν δὲ κρινόντων Ἐπισκόπων, ἐκ διαφόρων ὄντων ἐπαρχιῶν, ἐκεῖνος ὁ πρωτεύων τοὺς δικαστὰς δώσει, οὗ τινος ἐν τῇ χώρᾳ ὁ αὐτὸς ὑπάρχει τόπος, περὶ οὗ φιλονεικεῖται. Ἐὰν δὲ κατὰ κοινὴν συναίνεσιν γείτονας ἐπιλέξωνται κριτὰς, ἢ εἷς ἐπιλεγῇ, ἢ τρεῖς. Καὶ ἐὰν τρεῖς ἐπιλέξωνται καὶ ἀρεστῶσιν, ἢ τῇ τῶν ὅλων ψήφῳ ἐξακολουθήσωσιν ἢ τῇ τῶν δύω (3), ἀπὸ δὲ τῶν δικαστῶν τῶν κατὰ κοινὴν συναίνε-

Ἀπος. νή. τῆς δ'. κέ. τῆς ς'. ιθ'. τῆς ά. καὶ β'. ις'. τῆς Σαρδ. ιά. τῆς Καρθ. ις'. οθ'. πβ'. πς'. ρλβ'. ρλγ'. τοῦ Νύσ. ς'. τοῦ Πέτρου ί.

(1) Τὸ, οὐ προκριματισθείη ἐν τῇ Μάτρικι, νοεῖται καὶ οὕτως· Δὲν θέλει βλαφθῆ καὶ χάσει κἀνένα τόπον ἀπὸ τοὺς καταγεγραμμένους εἰς τὸν πρωτότυπον Κώδηκα τῆς Ἐκκλησίας του ὁ οἰκοκύριος Ἐπίσκοπος, μὲ τὸ νὰ τὸν ἐνέμετο ὁ ἄλλος Ἐπίσκοπος ἀνάμεσα εἰς τρεῖς χρόνους, ὄχι, ἀλλὰ θέλει τὸν πάρει ὀπίσω.

(2) Τοῦτο ὁ Κανὼν οὐ περιέχει, ὁ δὲ Ζωναρᾶς προστίθησι.

(3) Τὸ ἀκόλουθον μέρος τοῦ Κανόνος, ἡνωμένον ὄν, διῃρημένον ἐστὶ παρὰ τοῖς ἐξηγηταῖς, ἀριθμὸν ἔχον Κανόνος 126.

σιν ἐπιλεγέντων μὴ ἐξεῖναι ἐκκαλεῖσθαι. Ὅστις δήποτε ἀποδειχθείη διὰ μονοτονίαν μὴ θέλειν τοῖς δικασταῖς πειθαρχῆσαι, τοῦτο γινώσκων ὁ τῆς πρώτης καθέδρας Ἐπίσκοπος, δώσει γράμματα, ὥστε μηδένα τῶν Ἐπισκόπων αὐτῷ κοινωνῆσαι, ἕως οὗ πειθαρχήσῃ.

Ἑρμηνεία.

Δὲν πρέπει νὰ ἀμελῶσιν οἱ Ἐπίσκοποι τοὺς ἐν τῇ ἐπαρχίᾳ αὐτῶν εὑρισκομένους αἱρετικούς, ὡς λόγον ἀποδώσοντες περὶ αὐτῶν, ἀλλὰ νὰ σπουδάζουν μὲ κάθε τρόπον νὰ τοὺς κερδίσουν καὶ νὰ τοὺς ἐπιστρέψουν εἰς τὴν καθολικὴν ἑνότητα (1), ἤτοι Ἐκκλησίαν. Εἰ δὲ ἀναβάλλουσι τὸν καιρὸν, νὰ κατηγορηθοῦν διὰ τὴν ἀναβολὴν ταύτην ἀπὸ τοὺς πλησιοχώρους Ἐπισκόπους. Ἐὰν δὲ καὶ κατηγορηθέντες, πάλιν ἀμελῶσι, καὶ εἰς διορίαν μηνῶν ἓξ δὲν ἐπιστρέψουν τινὰς ἐξ αὐτῶν, οἱ αἱρετικοὶ οὗτοι μετὰ τῶν τόπων αὐτῶν νὰ δίδωνται εἰς ἄλλον ἐπίσκοπον δυνάμενον νὰ τοὺς ἐπιστρέψῃ. Πλὴν ἐὰν ὁ Ἐπίσκοπος, εἰς ὃν ὑπόκεινται οἱ αἱρετικοὶ, μεταχειρίζεται τὴν φαινομένην ἀμέλειαν ταύτην δι' οἰκονομίαν τινὰ, τὴν ὁποίαν ἐζήτησαν οἱ αἱρετικοὶ, ἵνα εἰρηνικώτερα καὶ ἀβίαστα ἐπιστραφῶσιν, (ὡσὰν ὁποῦ ἂν ἐμεταχειρίζετο ἐπιμέλειαν καὶ σπουδὴν περισσοτέραν, ἤθελαν σκληρυνθῆ διὰ αὐτὴν ἐκεῖνοι), ἄλλος δὲ Ἐπίσκοπος μὴ γινώσκων τὴν οἰκονομίαν ταύτην, ἐπρόλαβε καὶ τοὺς ἐπέστρεψεν· ἐὰν, λέγω, τοῦτο φανερωθῆ μετὰ διαγνώσεως καὶ κρίσεως τῶν Ἐπισκόπων, οἱ τόποι ὅλοι καὶ οἱ λαοὶ τῶν ἐπιστραφέντων αἱρετικῶν νὰ δίδωνται εἰς ὃν ὑπέκειντο Ἐπίσκοπον, τοὺς δὲ μέλλοντας κρῖναι Ἐπισκόπους, ἢ νὰ τοὺς δίδῃ ὁ Μητροπολίτης ἐκεῖνος, εἰς τοῦ ὁποίου τὴν ἐπαρχίαν εὑρίσκεται ὁ φιλονεικούμενος λαὸς καὶ τόπος τῶν αἱρετικῶν, ἢ μὲ συμφωνίαν νὰ τοὺς ἐκλέγουν καὶ οἱ δύω διαφερόμενοι Ἐπίσκοποι· καὶ ἐὰν μὲν ἕνα ἐκλέξουν, νὰ μένουν εἰς τὴν κρίσιν του, ὡς αἱρετοῦ κριτοῦ, ἐὰν δὲ τρεῖς, συμφωνούντων μὲν καὶ τῶν τριῶν, νὰ ἀκολουθήσουν εἰς τὴν κρίσιν αὐτῶν· μὴ συμφωνοῦντος δὲ τοῦ ἑνὸς, νὰ ἀκολουθήσουν εἰς τὴν κρίσιν τῶν συμφωνούντων δύω, καὶ τὴν κρίσιν αὐτῶν νὰ μὴ ἐκκαλοῦν εἰς ἄλλο κριτήριον. Ὅποιος δὲ ἐκ τῶν δύο διὰ πεῖσμα δὲν πείθεται εἰς τοὺς αἱρετοὺς αὐτοὺς κριτὰς, διὰ γραμμάτων τοῦ Μητροπολίτου νὰ μὴ συγκοινωνῇ τινὰς Ἐπίσκοπος μὲ αὐτὸν, ἕως οὗ νὰ πεισθῇ. Ὅρα καὶ τὸν νη'. Ἀποστολικὸν, καὶ τὸν ις'. τῆς παρούσης.

ΚΑΝΩΝ ΡΛΒ'. 132.

Ἀπος. νη. τῆς δ'. κέ. τῆς ά. καὶ β'. ις'. τῆς' Σαρδ. ιά. Καρθ. οδ'. πβ'. πς'. ρλά. ρλγ'. τοῦ Νύσ. ς'. τοῦ Πέτρου ί.

Ἐὰν ἐν τοῖς Ματρικίοις, ἤγουν ἐν ταῖς καθέδραις, Ἐπίσκοπος ἀμελὴς γένηται κατὰ τῶν αἱρετικῶν, ὑπομνησθείη ὑπὸ τῶν γειτνιώντων Ἐπισκόπων ἐπιμελῶν, καὶ ὑποδειχθείη αὐτῷ ἡ ἰδίᾳ περιφρόνησις πρὸς τὸ μὴ ἔχειν ἀπολογίαν. Ἐὰν δὲ ἀφ' ἧς ἡμέρας ὑπομνησθῇ, ἐντὸς μηνῶν ἓξ, ἐν τῇ αὐτῇ ἐπαρχίᾳ διάγων, μὴ τῶν ὀφειλόντων πρὸς τὴν καθολικὴν ἑνότητα ἐπιστραφῆναι τὴν φροντίδα ποιήσηται, τῷ τοιούτῳ μὴ συγκοινωνηθῇ, ἕως οὗ τοῦτο πληρώσῃ. Εἰ δὲ ὁ ἐπεξεργαστὴς εἰς τοὺς αὐτοὺς τόπους μὴ παραγένηται, τῷ Ἐπισκόπῳ μὴ ἐπιγραφῇ.

Ἑρμηνεία.

Οὐ μόνον τοὺς ἄλλους τόπους τῶν αἱρετικῶν, κατὰ τὸν προλαβόντα Κανόνα, ἀλλὰ καὶ αὐτὰς τὰς καθέδρας καὶ Μητροπόλεις, (εἰς τὰς ὁποίας εὑρίσκονται οἱ πρωτότυποι Κώδηκες καὶ ἀπογραφαὶ τῶν πραγμάτων αὐτῶν· τοῦτο γὰρ δηλοῦσι τὰ Ματρίκια, καὶ ὅρα εἰς τὸν μα'. τῆς Συνόδου ταύτης) πρέπει ὁ Ἐπίσκοπος νὰ ἐπιμεληθῇ καὶ νὰ ἐπιστρέφῃ πρὸς τὴν ὀρθοδοξίαν καὶ ὄχι νὰ ἀμελῇ. Ὁ δὲ ἀμελῶν αὐτῶν, διορίζει ὁ παρὼν Κανὼν νὰ ἐνθυμίζεται περὶ τούτου ἀπὸ τοὺς γείτονας Ἐπισκόπους, διὰ νὰ μὴ ἔχῃ ὕστερον ἀπολογίαν. Ἐὰν δὲ μετὰ τὴν ἐνθύμησιν, εἰς ἓξ μῆνας εὑρίσκόμενος εἰς τὰς καθέδρας αὐτὰς τῶν αἱρετικῶν, δὲν φροντίσῃ νὰ ἐνεργήσῃ ὅλους τοὺς τρόπους ἐκείνους, μὲ τοὺς ὁποίους ἠμποροῦν νὰ ἐπιστραφοῦν οἱ αἱρετικοὶ, νὰ γίνεται ἀκοινώνητος (2), ἕως οὗ νὰ κάμῃ τοῦτο. Εἰ δὲ ὁ ἄρχων τῆς χώρας, ὁ ὁποῖος δύναται νὰ ἐπεξεργάσῃ τὴν ὑπόθεσιν καὶ νὰ φέρῃ τοὺς αἱρετικοὺς, καὶ μὴ θέλοντας εἰς τὸ νὰ ἀπολογηθοῦν (3), δὲν εὑρίσκεται παρὼν, ἂς μὴ κατηγορῆται διὰ τὴν ἀναβολὴν αὐτὴν τῆς ἐπιστροφῆς των ὁ Ἐπίσκοπος, ὡς μὴ ἐξ αἰτίας αὐτοῦ γενομένην. Ὅρα καὶ τὸν νη'. Ἀποστολικόν.

(1) Τὸ, εἰς τὴν καθολικὴν ἑνότητα ὁ Βαλσαμὼν καὶ ὁ Ζωναρᾶς συνάπτοντες μὲ τὸ ἀκόλουθον ἐγκληθῶσι, λέγουσιν, ὅτι νὰ ἐγκαλοῦνται οἱ ἀμελοῦντες οὗτοι Ἐπίσκοποι εἰς τὴν καθολικὴν ἑνότητα, ἤτοι ἐνιαυσίαν Σύνοδον. Ἀλλ' ἡμεῖς βλέποντες πανταχοῦ τῶν Κανόνων τῆς Συνόδου, τὴν καθολικὴν ταύτην ἑνότητα ἐκλαμβανομένην πάντοτε εἰς τὴν καθολικὴν Ἐκκλησίαν καὶ οὐδέποτε εἰς τὴν Σύνοδον, οὕτως αὐτὸ ἑρμηνεύσαμεν.

(2) Ὁ Ἀνώνυμος ἑρμηνευτὴς λέγει νὰ γίνεται ἀκοινώνητος ὁ ἀμελήσας αὐτὸς Ἐπίσκοπος, ἐὰν ἄλλος δηλ. δὲν εὑρεθῇ νὰ ἐπιστρέψῃ τοὺς αἱρετικοὺς ἐπιμελέστερος Ἐπίσκοπος κατὰ τὸν ρλα'. Κανόνα.

(3) Ὁ Ἐπεξεργαστὴς ἴσως νὰ ἦναι ὁ ἔκδικος καὶ ἐμβιβαστὴς, περὶ οὗ διαλαμβάνουσιν ὁ ρς'. καὶ ρζ'. τῆς παρούσης Συνόδου, τοὺς ὁποίους ἐζήτησαν οἱ Πατέρες ἀπὸ τὸν Βασιλέα.

ΚΑΝΩΝ ΡΛΓ'. 133.

'Απος. νή. τῆς δ'. κέ. τῆς ς'. ιθ'. τῆς ά. καὶ β'. ις'. τῆς Σαρδ. ιά. τῆς Καρ. οθ'. πβ'. πς'. ρλά. ρλβ'.

Ἐὰν δὲ ἀποδειχθῇ τὸν τοιοῦτον ψευσάμενον περὶ τῆς ἐκείνων κοινωνίας, ἐν τῷ λέγειν αὐτοὺς κεκοινωνηκέναι, οὓς δείκνυται, συνειδήσει αὐτοῦ μὴ κοινωνῆσαι καὶ τὴν Ἐπισκοπὴν ἔτι μὴν ἀπολέσει.

Ἑρμηνεία.

Ἀκόλουθος εἶναι ὁ παρὼν Κανὼν μὲ τὸν ἀνωτέρω. Λέγει γὰρ ὅτι, ἐὰν κατηγορούμενος ὁ ἀμελήσας νὰ ἐπιστρέψῃ τοὺς αἱρετικοὺς Ἐπίσκοπος, εἰπῇ ψευδῶς, ὅτι ἐπέστρεψαν καὶ ἐσυγκοινώνησαν αὐτοὶ μὲ τὴν καθολικὴν Ἐκκλησίαν, χωρὶς νὰ ἐπιστρέψουν ὁλότελα, ἢ καὶ ἐπέστρεψαν μὲν, ὄχι δὲ μὲ τὴν εἰδησιν καὶ σπουδὴν τὴν ἐδικήν του, οὗτος νὰ καθαίρεται παντελῶς καὶ διὰ τὴν ἀμέλειαν, καὶ διατὶ εἶπε ψεύματα. Ὅρα καὶ τὸν νή. Ἀποστολικόν.

ΚΑΝΩΝ ΡΛΔ'. 134.

Τῆς β'. ς' τῆς δ'. θ'. τῆς Καρθαγ. ιά. λς'.

Ἤρεσεν ἵνα, Πρεσβύτεροι, Διάκονοι καὶ οἱ λοιποὶ κατώτεροι Κληρικοὶ ἐν αἷς ἔχουσιν αἰτίαις, ἐὰν περὶ τῆς ψήφου, τοὺς ἰδίους Ἐπισκόπους μέμφωνται οἱ γειτνιῶντες Ἐπίσκοποι τούτων, ἀκροάσωνται, καὶ τὰ μεταξὺ τούτων περατώσωσιν οἱ παρ' αὐτῶν, κατὰ συναίνεσιν τῶν ἰδίων αὐτῶν Ἐπισκόπων προσλαμβανόμενοι. Ἐὰν δὲ καὶ ἀπ' αὐτῶν ἐκκαλέσασθαι θελήσωσι, μὴ ἐκκαλέσωνται, εἰμὴ πρὸς τὰς τῆς Ἀφρικῆς Συνόδους, ἢ πρὸς τοὺς πρωτεύοντας τῶν ἰδίων αὐτῶν ἐπαρχιῶν. Πρὸς δὲ τὰ πέραν τῆς θαλάσσης ὁ βουλόμενος ἐκκαλεῖσθαι, ἀπὸ μηδενὸς ἐν Ἀφρικῇ δεχθείη εἰς κοινωνίαν.

Ἑρμηνεία.

Οὗτος ὁ Κανὼν εἶναι σχεδὸν ἀπαράλλακτος μὲ τὸν λς'. τῆς παρούσης ταύτης Συνόδου. Δι' ὃ καὶ ἀνάγνωθι τὴν ἑρμηνείαν ἐκεῖ. Τοῦτο δὲ καὶ μόνον προσθέτει παράνω ὁ παρὼν, ὅτι οἱ θέλοντες ἐκκαλέσαι τὴν κρίσιν ἀπὸ τοὺς πλησιοχώρους Ἐπισκόπους, νὰ τὴν ἐκκαλοῦν πρὸς τὰς Συνόδους τῆς Ἀφρικῆς, ἢ πρὸς τοὺς πρωτεύοντας κτλ. (1). Ὅρα καὶ τὸν ς'. τῆς β'. καὶ θ'. τῆς δ'.

ΚΑΝΩΝ ΡΛΕ'. 135.

Τῆς ά. γ'. ιθ'. τῆς Καρθ. ς'. νά. τῆς δ'. ιέ. τῆς ς'. μ'. μέ. τοῦ Βασ. ιή.

Ἤρεσεν ἵνα, ὅστις δήποτε τῶν Ἐπισκόπων δι' ἀνάγκην τῆς παρθενικῆς σωφροσύνης κινδυνευούσης, ὅτε, ἢ ἐραστὴς δυνατὸς, ἢ ἅρπαξ τις ἐστὶν ἐν ὑποψίᾳ, ἢ ἔτι μὴν ὑπό τινος θανατηφόρου κινδύνου αὐτὴ αἴσθηται νυχθεῖσα παρακαλούντων ἢ τῶν γονέων αὐτῆς, ἢ ὧν τῇ φροντίδι ἀνάκειται, διὰ τὸ μὴ χωρὶς τοῦ σχήματος τελειωθῆναι, καλύψῃ παρθένον, ἢ ἐκάλυψεν, ἐντὸς κείρας ἑνιαυτῶν εἰκοσιπέντε, μηδὲν τὸν τοιοῦτον βλάψῃ ἡ περὶ τούτου τοῦ ἀριθμοῦ τῶν ἑνιαυτῶν κατασταθεῖσα Σύνοδος.

Ἑρμηνεία.

Εἴπομεν κατὰ τὸν μέ τῆς ς'. ὅτι οἱ Μοναχοὶ καὶ Μονάζουσαι μὲ τὰ κοσμικὰ φορέματα ἔκαμναν τὴν δοκιμὴν τῆς καλογερικῆς: τοῦτο δὲ γίνεται φανερώτερον ἀπὸ τὸν παρόντα Κανόνα. Διορίζει γὰρ οὗτος, ὅτι αἱ παρθένοι ἐκεῖναι αἱ καθιερωθεῖσαι εἰς τὸν Θεὸν ἀπὸ τὸν Ἀρχιερέα, κατὰ τὸν ς'. τῆς παρούσης, αὐταὶ νὰ μὴ φοροῦν τὸ σχῆμα ἕως εἰς τὸν κέ. χρόνον τῆς ἡλικίας των, (περὶ οὗ ὅρα τὸν μ'. τῆς ς'.) ἐὰν δὲ ἠγάπησε κάμμίαν ἀπὸ αὐτὰς δυνάστης τινὰς, ἢ ἦναι ὑποψία ὅτι ἔχει νὰ ἁρπάσῃ αὐτὴν κἀνένας ἀσελγὴς ἄνθρωπος, ἢ καὶ εἰς κίνδυνον θανάτου εὑρίσκεται, καὶ παρακαλῇ αὐτὴ καὶ οἱ γονεῖς της διὰ νὰ μὴ ἀποθάνῃ χωρὶς νὰ λάβῃ τὸ σχῆμα, δίδοται ἄδεια εἰς τὸν Ἐπίσκοπον νὰ φορέσῃ τὴν αὐτὴν τὸ σχῆμα καὶ πρὸ τοῦ κέ. χρόνου, καὶ διὰ τὸ παράκαιρον αὐτὸ νὰ μὴ βλάπεται οὗτος ἀπὸ τὴν Σύνοδον, ὁποῦ τὸν τοιοῦτον καιρὸν ἐδιώρισεν, ὡς ἐξ ἀνάγκης, καὶ οὐχ ἑκουσίως αὐτὸν παραβάς. Ὅρα καὶ τὸν ιθ'. τῆς ά. καὶ ς'. τῆς παρούσης.

ΚΑΝΩΝ ΡΛς'. 136.

Ἤρεσε πάσῃ τῇ Συνόδῳ, διὰ τὸ μὴ ἐπιπολὺ τοὺς πρὸς τὴν Σύνοδον συναχθέντας Ἐπισκόπους σύμπαντας κατέχεσθαι, ἐξ ἑκάστης ἐπαρχίας ἀνὰ τρεῖς ἐπιλεγῆναι δικαστάς.

(1) Διὰ τοῦτο φαίνεταί μοι μὲ διπλοῦν Κανόνα ἐμπόδισεν ἡ Σύνοδος τὸ νὰ μὴ ἐκκαλοῦν οἱ Πρεσβύτεροι καὶ Διάκονοι εἰς τὴν Ρώμην, διὰ τὴν μεγάλην ἐνόχλησιν ὁποῦ ἐπροξένησεν εἰς αὐτὴν ὁ Πρεσβύτερος Ἀπιάριος, καὶ διατὶ ὁ Πάπας τῆς Ρώμης ἐζήτει παρανόμως μὲ κάθε τρόπον τὴν ἔκκλητον τῆς κρίσεως τῶν ἐν Ἀφρικῇ, καὶ πάντων τῶν μὴ ὑποκειμένων αὐτῷ Ἐπισκόπων, Πρεσβυτέρων, Διακόνων, καὶ πάντων τῶν λοιπῶν Κληρικῶν, ὡς εἴπομεν ἐν ἀρχῇ τῆς ἐν Σαρδικῇ Συνόδου, καὶ θέλομεν εἰπεῖ καὶ ἐν τῇ ἑρμηνείᾳ τῶν δύω τῆς παρούσης Συνόδου Ἐπιστολῶν.

Ἑρμηνεία.

Οἱ ἀθροισθέντες Ἐπίσκοποι, ἐπειδὴ ἐπολυκαίρισαν εἰς τὴν Σύνοδον ταύτην (εἰς ἓξ γὰρ ὁλοκλήρους χρόνους αὕτη, ὡς εἴπομεν, διήρκεσε) καὶ ἔμειναν ἀκόμη κάποια ζητήματα νὰ θεωρηθοῦν, διὰ τοῦ παρόντος Κανόνος ἐφάνη εὔλογον νὰ διαλεχθοῦν ἀπὸ κάθε ἐπαρχίαν τρεῖς Ἐπίσκοποι, καὶ οἱ μὲν λοιποὶ νὰ ὑπάγουν εἰς τὰς ἐπαρχίας των, οἱ διαλεχθέντες δὲ αὐτοὶ νὰ μείνουν καὶ νὰ θεωρήσουν τὰ ἐναπολειφθέντα ζητήματα.

ΚΑΝΩΝ ΡΑΖ'. 137.

Ἀπος. οδ'. τῆς β'. ς'. τῆς δ'. θ'. κά. τῆς Καρθ. ἡ. κζ'. ρλή. ρλθ'.

Ἤρεσε πᾶσιν, ἐπειδὴ τοῖς ἀνωτέροις τῶν Συνόδων ψηφίσμασι περὶ προσώπων Κληρικῶν τῶν μὴ ὀφειλόντων εἰς κατηγορίαν προσδεχθῆναι ὡρίσθη, καὶ οὐκ ἐπεξειργάσθη, ποῖα πρόσωπα μὴ προσδεχθῶσι, διὰ τοῦτο ὁρίζομεν τοῦτον ὀρθῶς πρὸς κατηγορίαν μὴ εἰσδέχεσθαι, ὅστις μετὰ τὸ ἀπὸ κοινωνίας γενέσθαι, ἐν αὐτῷ ἔτι τῷ ἀφορισμῷ ὑπάρχει, εἴτε Κληρικὸς εἴη, εἴτε λαϊκὸς κατηγορῆσαι βουλόμενος.

Ἑρμηνεία.

Διορίζει ὁ παρὼν Κανών, εἰς κατηγορίαν Κληρικῶν νὰ μὴ δέχωνται ὅλοι οἱ ἄνθρωποι, ἀλλὰ μόνοι οἱ ἀδιάβλητοι καὶ ἀκατηγόρητοι. Ὅστις λοιπὸν Κληρικὸς ἢ λαϊκὸς ἀφωρίσθη, ἐν ὅσῳ καιρῷ εὑρίσκεται εἰς τὸν ἀφορισμόν, νὰ μὴ δέχεται εἰς τὸ νὰ κατηγορῇ Κληρικόν. Ἀνάγνωθι καὶ τὸν οδ'. Ἀποστολικὸν, καὶ τὸν ς'. τῆς β'.

ΚΑΝΩΝ ΡΛΗ'. 138.

Ἀπος. οδ'. τῆς β'. β'. ς'. τῆς δ'. θ'. κά. τῆς Καρθ. ἡ. κζ'. ρλθ'.

Ἤρεσεν ἵνα πάντες οἱ δοῦλοι καὶ οἱ ἴδιοι ἀπελεύθεροι εἰς κατηγορίαν μὴ δεχθῶσι, καὶ πάντες, οὓς πρὸς κατηγορητέα ἐγκλήματα οἱ δημόσιοι νόμοι οὐ προσδέχονται· πάντες ἔτι μὴν οἱ τοῖς τῆς ἀτιμίας σπίλοις ἐρραντισμένοι· τουτέστι μῖμοι, καὶ ὅσα ταῖς αἰσχρότησιν ὑποβέβληνται πρόσωπα· αἱρετικοὶ ἔτι μὴν, εἴτε Ἕλληνες, εἴτε Ἰουδαῖοι. Πλὴν ὅμως πᾶσιν, οἷς ἡ τοιαύτη κατηγορία ἀρνεῖται, ἐν ταῖς ἰδίαις αἰτίαις τὴν τοῦ κατηγορεῖν ἄδειαν μὴ ὀφείλειν ἀρνεῖσθαι.

Ἑρμηνεία.

Ἀλλ' οὔτε ὅλοι οἱ δοῦλοι καὶ οἱ ἐλευθερωθέντες δέχονται εἰς τὸ νὰ κατηγορήσουν τοὺς ἐδικούς των αὐθέντας καὶ ἐλευθερωτὰς (1) κατὰ τὸν παρόντα Κανόνα, οὔτε ὅλοι ἐκεῖνοι, τοὺς ὁποίους δὲν δέχονται εἰς κατηγορίαν τινῶν οἱ πολιτικοὶ νόμοι· ἀλλ' οὔτε οἱ ἄτιμοι καὶ οἱ ἀτίμους καὶ αἰσχρὰς μεταχειριζόμενοι τέχνας, ἤγουν, οἱ μῖμοι, οἱ σκηνικοὶ καὶ ὑποκριταὶ, ἢ μονομάχοι καὶ θηριομάχοι, καὶ ἄλλοι τοιοῦτοι. Ἀλλ' οὔτε αἱρετικοὶ, ἢ σχισματικοὶ, ἢ Ἕλληνες, ἢ Ἰουδαῖοι. Οὗτοι, λέγω, πάντες εἰς ἐγκληματικὰς καὶ ἐκκλησιαστικὰς ὑποθέσεις δὲν δέχονται νὰ κατηγοροῦν Ἐπισκόπους καὶ Κληρικούς. Εἰς δὲ χρηματικὰς καὶ ἐδικάς των ὑποθέσεις ὅλοι ἔχουσι τὴν ἄδειαν νὰ κατηγοροῦν αὐτούς. Ὅρα καὶ τὸν οδ'. Ἀποστολ. καὶ τὸν ς'. τῆς β'.

ΚΑΝΩΝ ΡΛΘ'. 139.

Ἀπος. οδ'. τῆς β'. ς'. τῆς δ'. θ'. κά. τῆς Καρθ. ἡ. κζ'. ρλή.

Ἤρεσεν ἵνα, ὁσάκις δήποτε Κληρικοῖς, ἀπὸ κατηγόρων πολλὰ ἐγκλήματα ὑποβάλλονται, καὶ ἐὰν ἐξ αὐτῶν περὶ οὗ πρῶτον ἐπράχθη, ἀποδειχθῆναι οὐκ ἠδυνήθη, πρὸς τὰ λοιπὰ μετὰ ταῦτα μὴ προσδεχθῶσιν.

Ἑρμηνεία.

Ἐὰν διάφορα ἐγκλήματα εἴπῃ τινὰς κατὰ τῶν Ἐπισκόπων ἢ Κληρικῶν, καὶ ἕνα ἀπὸ αὐτὰ, τὸ πρώτως ἐξετασθὲν, δὲν δυνηθῇ νὰ ἀποδείξῃ ἀληθινὸν, προστάζει ὁ παρὼν Κανὼν, ὅτι οὔτε εἰς τὰ λοιπὰ ἐγκλήματα νὰ προσδέχεται ὡς ἀληθινὸς ὁ τοιοῦτος. Ὅρα καὶ τὸν οδ'. Ἀποστολ. καὶ τὸν ς'. τῆς β'.

ΚΑΝΩΝ ΡΜ'. 140.

Ἀπος. οέ. τῆς ά. δ'. τῆς Καρθ. ἡ. κζ'. λή. ξή. ρλή. ρλθ'.

Μάρτυρας δὲ εἰς μαρτυρίαν μὴ εἰσδέχεσθαι, τοὺς μηδὲ πρὸς κατηγορίαν εἰσδεχθῆναι παραγγελθέντας, ἢ ἔτι μὴν, οὓς αὐτὸς ὁ κατήγορος ἐκ τοῦ ἰδίου οἴκου προσκομίσει. Μαρτυρία δὲ ἐντὸς κείρας ἐνιαυτῶν δεκατεσσάρων μὴ προσδεχθείη.

(1) Ἀλλ' οὔτε τοὺς παῖδας ἢ τοὺς κληρονόμους τῶν αὐθεντῶν | ἀπελεύθεροι, οὔτε πάντας τοὺς ἔχοντας εἰς αὐτοὺς πατρωνικὰ καὶ ἐλευθερωτῶν αὐτῶν δύνανται νὰ κατηγορήσουν οἱ δοῦλοι καὶ | δίκαια. Πατρωνία δὲ κατὰ Λατίνους θέλει νὰ εἴπῃ προστασία.

Ἑρμηνεία.

Ὄχι μόνον οἱ τῶν Κληρικῶν καὶ ἱερωμένων κατήγοροι πρέπει νὰ ἦναι ἀκατηγόρητοι, ἀλλὰ καὶ αὐτοὶ οἱ κατὰ τούτων μέλλοντες μαρτυρῆσαι, ὡς ὁ παρὼν Κανὼν διορίζεται. Ὅσα λοιπὸν πρόσωπα εἴπομεν ἀνωτέρω, ὅτι εἰς κατηγορίαν δὲν δέχονται Κληρικῶν, αὐτὰ οὐδὲ εἰς μαρτυρίαν τὴν κατὰ τούτων δέχονται. Ἀλλ' οὔτε νὰ δέχωνται εἰς μαρτυρίαν ἐκείνους ὁποῦ φέρει ὁ κατήγορος ἀπὸ τὸ ὀσπήτιόν του (καὶ μάλιστα ὄντας ὑπεξουσίους)· ὅποπτοι γὰρ οὗτοι εἶναι διὰ τὴν οἰκειότητα. Ἀλλὰ καὶ ὅσοι εἶναι ἄνηβοι, πρὸ τοῦ νὰ φθάσουν εἰς ἡλικίαν ιδ'. χρόνων, εἰς μαρτυρίαν δὲν δέχονται, μὲ τὸ νὰ μὴ ἔχουσιν ἀκόμη τὸν λογισμὸν καὶ τὸ φρόνημα σταθερόν. Ἀνάγνωθι καὶ τὸν οέ. Ἀποστολικόν.

ΚΑΝΩΝ ΡΜΑ'. 141.

Ἤρεσεν ἵνα, ἐάν ποτε Ἐπίσκοπος λέγῃ τινὰ, αὐτῷ μόνῳ τὸ ἴδιον ἔγκλημα ὁμολογῆσαι, καὶ ἐκεῖνος ἀρνῆται, μὴ λογίσηται ὁ Ἐπίσκοπος εἰς ἰδίαν ὕβριν συντείνειν, ὅτι αὐτὸς μόνος οὐ πιστεύεται. Εἰ δὲ καὶ τῷ σκινδαλμῷ τῆς ἰδίας συνειδήσεως λέγοι μὴ θέλειν ἑαυτὸν κοινωνεῖν τῷ ἀρνουμένῳ (1), ἐφ' ὅσον τῷ ἀφωρισμένῳ μὴ κοινωνῇ ὁ ἴδιος Ἐπίσκοπος, τῷ αὐτῷ Ἐπισκόπῳ ἄλλοι μὴ συγκοινωνήσωσιν Ἐπίσκοποι. Ὥστε μᾶλλον παραφυλάττεσθαι τὸν Ἐπίσκοπον μὴ λέγειν κατά τινος, ὅπερ ἀποδείξεσιν ἐλέγξαι παρ' ἑτέροις οὐ δύναται.

Ἀποσ. λϐ'. τῆς ά. έ. τῆς Ἀντιοχ. ς'. τῆς ἐν Ἁγίᾳ Σοφίᾳ ά. τῆς Σαρδ. ιϐ'. τῆς Καρ. ιά. λζ'.

Ἑρμηνεία.

Διορίζει ὁ παρὼν Κανὼν, ὅτι ἀνίσως τινὰς ἐξομολογηθῇ κατὰ μόνας εἰς Ἐπίσκοπον ἁμάρτημά τι ἐδικόν του, ἄξιον ἀκοινωνησίας καὶ ἀφορισμοῦ, ἔπειτα ὁ Ἐπίσκοπος μὲν τὸ φανερώσῃ, ὁ δὲ ἐξομολογηθεὶς ἀκούοντας τοῦτο, ἀρνῆται ὅτι τοῦ τὸ ἐξωμολογήθη· ἐὰν τοῦτο, λέγω, ἀκολουθήσῃ, δὲν πρέπει ὁ ἐπίσκοπος νὰ πιστεύεται μόνος, ἀλλὰ καὶ νὰ ἀναγκάζεται νὰ συγκοινωνῇ μὲ ἐκεῖνον, καὶ νὰ μὴ νομίζῃ εἰς ὕβριν ἐδικήν του, ὅτι οἱ ἄλλοι δὲν τοῦ πιστεύουσι μόνου. Ἐὰν δὲ αὐτὸς δὲν θέλῃ νὰ συγκοινωνῇ μὲ τὸν ἐξομολογηθέντα καὶ ἀρνούμενον, διὰ τὸ σκάνδαλον ὁποῦ τοῦ κάμνει ἡ συνείδησις ἐλέγχουσα αὐτὸν, πῶς τάχα συγκοινωνεῖ μὲ τὸν ἄξιον ἀκοινωνησίας καὶ ἀφορισμοῦ, ἐν ὅτῳ καιρῷ αὐτὸς δὲν συγκοινωνεῖ μὲ τὸν ἀρνούμενον, οὔτε οἱ ἄλλοι Ἐπίσκοποι νὰ μὴ συγκοινωνοῦν μὲ αὐτόν. Καὶ τοῦτο νὰ γίνεται διὰ νὰ φυλάττεται ὁ Ἐπίσκοπος, νὰ μὴ λέγῃ κανένα ἔγκλημα ἐναντίον τινὸς, τὸ ὁποῖον δὲν ἠμπορεῖ νὰ τὸ ἀποδείξῃ καὶ εἰς τοὺς ἄλλους διὰ μαρτύρων, ἢ ἄλλου τινός. Ἀνάγνωθι καὶ τὸν λϐ'. Ἀποστολικὸν, καὶ τὴν ὑποσημείωσιν τοῦ θ'. τῆς ἐν Νεοκαισαρείᾳ.

Ἡ ἀπὸ πάσης τῆς ἐν Ἀφρικῇ Συνόδου, πρὸς Βονιφάτιον τὸν τῆς Ρωμαίων Ἐκκλησίας Ἐπίσκοπον, διὰ Φαυστίνου Ἐπισκόπου, Φιλίππου καὶ Ἀσέλλου πρεσβυτέρου, τῶν τοποτηρητῶν τῆς Ρώμης Ἐκκλησίας, ἀποσταλεῖσα Ἐπιστολὴ Α'.

Ἐπειδὴ τῷ Κυρίῳ ἤρεσεν ἵνα, περὶ ὧν ἅμα ἡμῖν διεπράξαντο οἱ ἁγιώτατοι ἀδελφοὶ ἡμῶν, Φαυστῖνος ὁ Συνεπίσκοπος, καὶ οἱ Συμπρεσβύτεροι Φίλιππος καὶ Ἄσελλος, μὴ τῷ τῆς μακαρίας μνήμης Ζωσίμῳ τῷ Ἐπισκόπῳ, ἀφ' οὗ πρὸς ἡμᾶς γράμματα καὶ ἐντολὰς ἤγαγον, ἀλλὰ τῇ ὑμετέρᾳ τιμιότητι εἰς τὸν ἐκείνου τόπον θεόθεν καταστάθῃση, ἡ ἡμετέρα βραχύτης ἀντιγράψῃ τὰ τῇ ἑκατέρων ἡμῶν ὁμονοίᾳ περατωθέντα, ὀφείλομεν διὰ βραχέων ἐμφανῆ κατασταῖσαι. Οὐ μὴν τὰ τοῖς ἐκτεταμένοις τῶν πεπραγμένων κυλίσμασι κατεχόμενα, ἐν οἷς σωζομένης μὲν τῆς ἀγάπης, οὐ χωρὶς δὲ μικροῦ τῆς ἀμφισβητήσεως καμάτου παρειλκύσαμεν, σκεπτόμενοι τὰ εἰς τὸ πρᾶγμα συντείνοντα, τοῖς πεπραγμένοις ἐνθεῖναι. Κἀκεῖνος γὰρ, εἰ ἔτι ἦν ἐν τῷ σώματι τούτῳ, χαριεστέρως ἐδέχετο, ὅπερ ἔδλεπεν εἰρηνικωτέρως περατωθὲν, Κύριε ἀδελφέ. Ἀπιάριος ὁ Πρεσβύτερος, οὗ τινος καὶ περὶ τῆς χειροτονίας καὶ τῆς ἀκοινωνησίας καὶ προκλήσεως ἀνεφύη, οὐ μόνον τῇ ἐν Σίκκῃ, ἀλλὰ καὶ τῇ ἐν πάσῃ τῇ Ἀφρικῇ Ἐκκλησίᾳ, οὐ μικρὸν σκάνδαλον, περὶ πάντων, ὧν ἐπλανήθη, συγγνώμην αἰτήσας, τῇ κοινωνίᾳ ἀποκατέστη. Πρῶτος γὰρ ὁ Συνεπίσκοπος ἡμῶν Οὐρβανὸς ὁ τῆς Σίκκης, ὅσον ἦν ἐν αὐτῷ διορθωτέον, ἀναμφιβόλως διωρθώσατο. Ἐπειδὴ δὲ τῆς ἐκκλησιαστικῆς εἰρήνης καὶ ἡσυχίας οὐ μόνον πρὸς τὸ παρὸν, ἀλλὰ καὶ εἰς τὸ ἑξῆς ἔδει πρόνοιαν ποιήσασθαι, ὅτι πολλὰ τοιαῦτα προηγήσαντο, ὅπως ἀπὸ τῶν ὁμοίων, ἢ καὶ βαρυτέρων, τῶν μετὰ ταῦτα προπαραφυλαξώμεθα, ἤρεσεν ἡμῖν, ἵνα ἐκ τῆς ἐν Σίκκῃ Ἐκκλησίας ἀποκινηθῇ ὁ Πρεσβύτερος

(1) Τὸ ἀκόλουθον μέρος τοῦ Κανόνος τούτου, διηρημένον ἐςἰν οὐ καλῶς παρὰ τοῖς ἐξηγηταῖς, ἀριθμὸν ἔχον Κανόνος 137. Ὑπομιμνήσκομεν δὲ τοὺς ἀναγνώστας, ὅτι ὁ παρὰ τοῖς ἑρμηνευταῖς ἀριθμὸς τῶν Κανόνων λανθασμένος ἐστὶν ἀπὸ τοὺς τυπογράφους, τόσον ἐν ταῖς Πανδέκταις, ὅσον καὶ ἐν τῷ Βαλσαμῶνι. Ἀντὶ γὰρ τοῦ 137 ἀριθμοῦ τῶν Κανόνων, αὐτοὶ μόνον ἔχουν 133 ἐν τῷ μέσῳ που τὸ λάθος τοῦτο ποιήσαντες.

Ἀπιάριος, φυλαττομένης αὐτῷ δηλονότι τῆς τιμῆς τοῦ βαθμοῦ αὐτοῦ, καὶ λαμβάνων ἐπιστολὴν, ὅπου δήποτε ἀλλαχοῦ βουληθείη καὶ δυνηθείη, τῷ καθήκοντι τοῦ πρεσβυτέρου λειτουργήσῃ, ὅπερ τῷ αὐτῷ Ἀπικρίῳ δι' οἰκείων γραμμάτων αἰτήσαντι, χωρὶς τινος δυσχερείας συνεχωρήσαμεν. Πρὸ τοῦ δὲ ἡ αἰτία αὕτη τῷ τοιούτῳ πέρατι παραδοθῇ μεταξὺ τῶν ἄλλων, ἅτινα διηνεκέσι διαγνώσεσιν ἀναστρέφομεν, αὐτοῦ τοῦ λόγου ἀπαιτήσαντος, ὥστε τοῖς ἐκκλησιαστικοῖς πεπραγμένοις ζητῆσαι ἡμᾶς παρὰ τῶν ἀδελφῶν ἡμῶν Φαυστίνου τοῦ Συνεπισκόπου, καὶ Φιλίππου καὶ Ἀσέλλου τῶν Συμπρεσβυτέρων, ἵνα προενέγκωσιν εἴ τι δήποτε ἦν αὐτοῖς ἅμα ἡμῖν πρακτέον ἐπιτραπὲν, τινὰ μὲν ἀγράφως διὰ λόγων ἐπεξειργάσατο· ἡμῶν δὲ ἀπαιτησάντων, ὅπερ ἐπεφέροντο ἔγγραφον κομμονιτόριον, τοῦτο προήγαγον, ὅπερ ἀναγνωσθὲν παρ' ἡμῶν, τοῖς πεπραγμένοις, ἔτι μὴν ἐνετάγη τοῖς καὶ πρὸς ἡμᾶς δι' αὐτῶν ἐπὶ τοῦ παρόντος φερομένοις, ἐν ᾧ τέσσαρα αὐτοῖς τινὰ ἅμα ἡμῖν πρακτέα ἐνετάγησαν· ἓν, περὶ ἐκκλήτων Ἐπισκόπων πρὸς τὸν τῆς Ρωμαίων Ἐκκλησίας Ἱερέα· Δεύτερον, ἵνα ἐπὶ τὸ κομητάτον Ἐπίσκοποι, ὡς ἔτυχε, μὴ πλεύσωσι· Τρίτον, περὶ τοῦ τὰς αἰτίας τῶν Πρεσβυτέρων καὶ Διακόνων ζητεῖσθαι παρὰ τοῖς ὁμόροις Ἐπισκόποις, ἐὰν ἐκ τῶν ἰδίων ἀπὸ κοινωνίας προπετῶς γένωνται· Τέταρτον, περὶ Οὐρβανοῦ τοῦ Ἐπισκόπου ἀποκοινωνητέου, ἢ ἔτι μὴν ἐν Ρώμῃ κλητέου, εἰ μὴ τὰ ὀφείλοντα διορθωθῆναι διορθώσηται. Ἐξ ὧν πάντων περὶ τοῦ πρώτου καὶ τρίτου, τοῦτ' ἔστιν, ἵνα ἐξείη εἰς Ρώμην τοῖς Ἐπισκόποις ἐκκαλεῖσθαι, καὶ ὅτι τῶν Κληρικῶν αἱ αἰτίαι παρὰ τοῖς τῶν ἐπαρχιῶν αὐτοῖς Ἐπισκόποις περατῶνται. Ἤδη ἐν τῷ προλαβόντι ἐνιαυτῷ, γράμμασιν ἔτι μὴν ἡμετέροις πεμφθεῖσι τῷ αὐτῷ τῆς προσκυνητῆς μνήμης Ζωσίμῳ τῷ Ἐπισκόπῳ, ἐσπουδάσαμεν ἐμφανῆσαι, ἵνα ταῦτα χωρίς τινος ὕβρεως αὐτοῦ πρὸς ὀλίγον φυλάξωμεν, ἕως οὗ ζήτησις γένηται τῶν ὅρων τῆς ἐν Νικαίᾳ Συνόδου. Καὶ νῦν δὲ ἀπὸ τῆς σῆς αἰτούμεθα ἁγιωσύνης, ἵνα ὃν τρόπον ταῦτα ἐν Νικαίᾳ ἀπὸ τῶν Πατέρων ἐπράχθησαν καὶ ὡρίσθησαν, οὕτως αὐτὰ παρ' ὑμῶν φυλαχθῆναι ποιήσῃς, καὶ αὐτόθι παρ' ὑμῖν τὰ ἐν τῷ αὐτῷ κείμενα Κομμονιτορίῳ γυμνασθῆναι ποιήσῃς. Τοῦτ' ἔστιν, ἐὰν Ἐπίσκοπος κατηγορηθῇ καὶ οἱ συνελθόντες Ἐπίσκοποι τῆς αὐτοῦ ἐπαρχίας κρίνωσι, καὶ ἐκ τοῦ βαθμοῦ αὐτοῦ καθέλωσιν αὐτὸν, ὅταν δόξῃ ἐκκαλεῖσθαι, καὶ πρὸς τὸν μακαριώτατον τῆς Ρωμαίων Ἐκκλησίας Ἐπίσκοπον καταφύγῃ, ἐὰν συνίδῃ αὐτὸν ἀκουσθῆναι, καὶ δίκαιον λογίσηται, ὥστε ἀνεῳχθῆναι τὴν κρίσιν, γράψαι καταξιώσῃ τοῖς ἐν τῇ ὁμόρῳ καὶ ἐγγιζούσῃ ἐπαρχίᾳ καθεστῶσιν Ἐπισκόποις, ἵνα αὐτοὶ πάντα ἐπιμελῶς ἀναζητήσωσι, καὶ κατὰ τὴν πίστιν τῆς ἀληθείας περατώσωσιν. Ἐὰν δὲ καὶ ὁ παρακαλῶν τὴν αἰτίαν αὐτοῦ ἄνωθεν ἀκουσθῆναι ἰδίᾳ ἱκεσίᾳ κινήσῃ τὸν Ρωμαϊκὸν Ἐπίσκοπον, ἵνα ἐκ τοῦ ἰδίου αὐτοῦ πλευροῦ Πρεσβύτερον ἀποστείλῃ, ἐν τῇ ἐξουσίᾳ, τοῦτ' ἔστι τοῦ Ἐπισκόπου, τί βουληθῇ καὶ τί κρίνῃ. Καὶ ἐὰν ψηφίσηται τοὺς ὀφείλοντας μετὰ τῶν Ἐπισκόπων παρόντας κρῖναι, ἔχοντας τὴν αὐθεντίαν αὐτοῦ ἐξ οὗ ἀπεστάλησαν, ἔσται ἐν τῇ κρίσει αὐτοῦ. Ἐὰν δὲ καὶ πιστεύσῃ ἀρκεῖν τοὺς Ἐπισκόπους πρὸς τὸ περατῶσαι τὰ τοῦ πράγματος, ποιήσῃ ὅπερ τῷ σοφωτάτῳ αὐτοῦ συνίδῃ βουλεύματι. Ὁμοίως περὶ Πρεσβυτέρων καὶ Διακόνων, ἐάν τις Ἐπίσκοπος ὀργίλος, ὅπερ εἰναι οὐκ ὀφείλει, ταχέως ἢ τραχέως κινηθῇ κατὰ Πρεσβυτέρου ἢ Διακόνου ἰδίου, καὶ θελήσῃ τοῦτον ἐκ τῆς ἰδίας ἐξορίσαι Ἐκκλησίας, προνοητέον ἐστὶν, ἵνα μὴ ἀδίκως καταδικασθῇ, ἢ ἀπολέσῃ τὴν κοινωνίαν. Ἐχέτω οὖν ὁ ἐκβληθεὶς ἐξουσίαν προσελθεῖν τοῖς ὁμοροῦσι, καὶ ἡ αἰτία αὐτοῦ ἀκουσθήτω, καὶ ἐπιμελέστερον ζητηθήτω· ὅτι οὐκ ὀφείλει παρακαλοῦντι αὐτῷ ἡ ἀκρόασις ἀρνηθῆναι. Κἀκεῖνος δὲ ὁ Ἐπίσκοπος, ὁ ἢ δικαίως ἢ ἀδίκως ἐκβαλὼν, ἀνεξικάκως καταδέξηται τὰ τοῦ πράγματος ἐξετασθῆναι, ἵνα ἢ κυρωθῇ ἢ διορθωθῇ ἡ γνώμη αὐτοῦ. Ταῦτα δηλονότι, ἕως τῆς παρουσίας τῶν ἀληθεστάτων ἐξέμπλων τῆς ἐν Νικαίᾳ Συνόδου, τοῖς πεπραγμένοις ἐνεβλήθησαν· ἅτινα, ἐὰν ἐκεῖ, ὃν τρόπον ἐν αὐτῷ τῷ Κομμονιτορίῳ περιέχονται, τῷ ἡμῖν διὰ τῶν ἀποσταλέντων ἀδελφῶν ἐκ τῆς ἀποστολικῆς καθέδρας ἐμφανισθέντι, καὶ παρ' ὑμῖν τῇ αὐτῇ τάξει ἐν Ἰταλίᾳ φυλάττωνται, οὐδαμῶς καὶ ἡμεῖς τῶν τοιούτων μεμνῆσθαι βουλόμεθα, ἢ οὐχ ὑποφέρειν ἐπειγόμεθα, ἀλλὰ πιστεύομεν, ὅτι βοηθοῦντος τοῦ ἐλέους Κυρίου τοῦ Θεοῦ ἡμῶν, τῆς σῆς ἁγιωσύνης προεστώσης τῆς Ρωμαϊκῆς Ἐκκλησίας, οὐκέτι λοιπὸν ὑπομένομεν τὸν τύφον τοῦτον. Φυλαχθῶσι δὲ περὶ ἡμᾶς ἅτινα, καὶ μὴ λαλούντων ἡμῶν, ὀφείλουσι φυλαχθῆναι ἀδελφικῇ ἀγάπῃ, ἅπερ κατὰ τὴν σοφίαν καὶ δικαιοσύνην, ἣν σοι ὁ Ὕψιστος ἐδωρήσατο, καὶ αὐτοὺς ἔτι μὴν συνορᾷς ὀφείλειν φυλαχθῆναι, ἐὰν τυχὸν ἀλλοίως ἔχωσιν οἱ Καννόνες τῆς ἐν Νικαίᾳ Συνόδου. Ἡμεῖς γὰρ πλείστοις ἐντυχόντες βιβλίοις, οὐδαμοῦ ἀνέγνωμεν εἰς τὴν ἐν Νικαίᾳ Σύνοδον ἐν Ρωμαϊκοῖς βιβλίοις, ὃν τρόπον ἐν τῷ προλεχθέντι Κομμονιτορίῳ αὐτόθεν ἀπεστάλησαν. Ὅμως, ἐπειδὴ ἐνταῦθα εἰς οὐδὲ ἓν βιβλίον Γραικὸν ταῦτα εὑρεῖν ἠδυνήθημεν ἐκ τῶν ἀνατολικῶν Ἐκκλησιῶν, ἔνθα λέγονται τὰ αὐτὰ ψηφίσματα, δύνασθαι τὰ αὐθεντικὰ ἔτι μὴν εὑρεθῆναι, ἡμῖν προσενεχθῆναι μᾶλλον ποθοῦμεν. Διὸ καὶ τὴν σὴν σεβασμιότητα δυσωποῦμεν, ἵνα γράψαι καὶ αὐτὸς ἔτι μὴν καταξιώσῃς πρὸς τοὺς ἐκείνων τῶν μερῶν Ἱερεῖς, τουτέστι τῆς ἐν Ἀντιοχείᾳ Ἐκκλησίας καὶ τῆς ἐν Ἀλεξανδρείᾳ καὶ τῆς ἐν Κωνσταντινουπόλει, καὶ ἄλλοις δὲ, ἐὰν παραστῇ τῇ σῇ ἁγιωσύνῃ, ὅπως ἐκεῖθεν πρὸς ἡμᾶς οἱ ἐν Νικαίᾳ παρὰ τῶν ἁγίων Πατέρων ὁρισθέντες ἔλθωσι Κανόνες, σοῦ κατ' ἐξαίρετον τὴν εὐεργεσίαν ταύτην πάσαις ταῖς δυτικαῖς Ἐκκλησίαις τῇ τοῦ Κυρίου βοηθείᾳ συνεισάγοντος. Τίς γὰρ ἀμφιβάλλει τὰ ἴσα ἀληθέστατα εἶναι ἐν Γραικοῖς τῆς ἐν Νικαίᾳ συναθροισθείσης Συνόδου, ἅτινα ἀπὸ οὕτω διαφόρων τόπων καὶ ἐπισήμων Γραικῶν Ἐκκλησιῶν προσενεχθέντα καὶ συγκριθέντα ὁμονοοῦσιν; ὅπερ ἕως οὗ γένηται, τὰ ἐν τῷ προλεχθέντι Κομμονιτορίῳ ἡμῖν προσενεχθέντα περὶ τῶν πρὸς τὸν τῆς Ρωμαϊκῆς Ἐκκλησίας Ἱερέα ἐκκλήτων τῶν Ἐπισκόπων, καὶ περὶ τῶν αἰτιῶν τῶν Κληρικῶν τῶν ὀφειλουσῶν περατοῦσθαι, παρὰ τοῖς τῶν ἰδίων αὐτῶν ἐπαρχιῶν Ἐπισκόποις, ἡμεῖς ὁμολογοῦμεν, καὶ φυλάξοντας (1) ἕως τῆς ἐπικυρώσεως, καὶ τὴν ὑ-

(1) Ἴσ. καὶ φυλάξωμεν.

μετέραν μακαριότητα, θέλοντος τοῦ Θεοῦ, πρὸς τοῦτο ἡμῖν βοηθήσουσαν θαροῦμεν. Τὰ δὲ λοιπὰ τὰ ἐν τῇ ἡμετέρᾳ Συνόδῳ πραχθέντα καὶ βεβαιωθέντα, ἐπειδὴ οἱ προλεχθέντες Ἀδελφοὶ ἡμῶν Φαυστῖνος ὁ Συνεπίσκοπος, Φίλιππος, καὶ Ἄσελλος οἱ Πρεσβύτεροι μεθ' ἑαυτῶν ἐπιφέρωνται, ἐὰν καταξιώσητε, γνωστὰ ποιήσουσι τῇ ὑμετέρᾳ ἁγιωσύνῃ. Καὶ ὑπέγραψαν. Ὁ Κύριος ἡμῶν φυλάξοι σε ἡμῖν ἐπὶ πλείστους χρόνους, μακαριώτατε Ἀδελφέ. Ὑπέγραψαν ὁμοίως, Ἀλύπιος, Αὐγουστῖνος, Ποσσείδιος, Μαρῖνος καὶ οἱ λοιποὶ Ἐπίσκοποι.

Ἐπιστολὴ Β'. τῆς ἐν Ἀφρικῇ Συνόδου πρὸς Κελεστῖνον τὸν Πάπαν.

Ἠυχώμεθα, ὃν τρόπον ἡ σὴ ἁγιωσύνη περὶ τῆς παρουσίας τοῦ Ἀπιαρίου χαριέντως ὑμᾶς ἐδήλωσε, γραμμάτων πεμφθέντων διὰ τοῦ πρεσβυτέρου ἡμῶν Λέοντος, οὕτω καὶ ἡμεῖς ὁμοίως περὶ τοῦ καθαρισμοῦ τοῦ αὐτοῦ τὰ παρόντα γράμματα μετὰ χαρᾶς ἀπεστείλαμεν. Ἦν γὰρ δηλαδὴ καὶ ἡ ἡμετέρα, καὶ ὑμετέρα προθυμία ἀσφαλεστέρα, καὶ οὐδὲ πευτικὴ ἐδόκει ἡ περὶ τοῦ ἀκμὴν ἀκουστέου, ἥπερ ὡς περὶ ἀκουσθέντος προηγησαμένη. Παραγενομένου τοίνυν πρὸς ἡμᾶς τοῦ ἁγιωτάτου Ἀδελφοῦ καὶ Συνεπισκόπου ἡμῶν Φαυστίνου, συνήξαμεν Σύνοδον, καὶ ἐπιστεύσαμεν διὰ τοῦτο αὐτὸν μετ' ἐκείνου πεμφθέντα, ἵνα ὥς περ οὗτος καὶ νῦν δυνηθῇ τῷ αὐτοῦ σκοπῷ ἐκ τῶν ἀπὸ τῶν ἐν Θαβρακηναῖς ὑποβληθέντων τοσούτων ἐγκλημάτων καθαρθῆναι, οὕτινος τὰ τοσαῦτα καὶ οὕτω παμμεγέθη ἀτοπήματα, ἡ πληθὺς καταδραμοῦσα τῆς ἡμετέρας Συνόδου, εὗρεν, ὅτι καὶ τοῦ μνημονευθέντος τὴν πατρωνίαν μᾶλλον, ἥπερ κρίσιν καὶ τὴν ὡς ἐκδίκου σπουδὴν μᾶλλον, ἥπερ διαγνώστου δικαιοσύνην ὑπερενίκησε. Πρῶτον μὲν γὰρ ἀντέστη μεγάλως πάσῃ τῇ Συνόδῳ διαφόρους ὕβρεις ἐπιφέρων, ὡσανεὶ τὰ πριβιλέγια τῆς Ρωμαϊκῆς Ἐκκλησίας διεκδικῶν. Καὶ θέλων αὐτὸν παρ' ἡμῶν εἰς κοινωνίαν δεχθῆναι, ὃν ἡ σὴ ἁγιωσύνη πιστεύσασα ἐκκαλεῖσθαι, ὅπερ ἀποδεῖξαι οὐκ ἠδυνήθη, τῇ κοινωνίᾳ ἀποδέδωκεν· ὅμως ἧττον αὐτῷ τοῦτο ἐξεγένετο, ὅπερ ἔτι μὴν τῇ ἀναγνώσει τῶν πεπραγμένων κρειττόνως γνοίης. Τριημέρου μέν τοι δίκης ἐπιμόχθου κινηθείσης, ἐν ὅσῳ τὰ διάφορα τῷ αὐτῷ ὑποβληθέντα συντριβόμενοι ἐζητοῦμεν, ὁ Θεὸς ὁ δίκαιος κριτὴς, ὁ ἰσχυρὸς καὶ μακρόθυμος, τάς τε παρολκὰς τοῦ Συνεπισκόπου ἡμῶν Φαυστίνου, καὶ τὰς τριψεργίας τοῦ αὐτοῦ Ἀπιαρίου, οἷς τὰς ἀθεμίτους αὐτοῦ αἰσχρότητας συγκαλύψαι ἐπερείδετο, μεγάλῃ συντομίᾳ ἔτεμε, τῆς συχαντῆς δηλαδὴ καὶ δυσωδεστέρας ἐπιμονῆς καταργηθείσης, καὶ τῆς ἀναισχυντίας τῆς ἀρνήσεως, δι' ἧς τῶν τοσούτων ἡδονῶν τὸν βόρβορον ἐβούλετο καταβυθίσαι. Τοῦ γὰρ Θεοῦ ἡμῶν τὴν συνείδησιν αὐτοῦ στενοχωρήσαντος, καὶ τὰ ἐν τῇ καρδίᾳ κρυπτὰ, ὡς ἐν ἰλὺϊ τῶν ἐγκλημάτων ἤδη καταδεδικασμένα, πᾶσιν ἔτι μὴν τοῖς ἀνθρώποις δημοσιεύσαντος, αἰφνιδίως εἰς ὁμολογίαν πάντων τῶν ὑποβληθέντων αὐτῷ ἐγκλημάτων ὁ δόλιος ἀρνητὴς ἐξέρρηξε, καὶ μόλις ποτὲ περὶ πάντων τῶν ἀπιθάνων ὀνειδῶν ἑκοντὶ αὐτὸς ἑαυτὸν ἤλεγξε, καὶ αὐτὴν ὁμοίως τὴν ἡμετέραν ἐλπίδα, ἥτινι καὶ ἐπιστεύσαμεν αὐτὸν, καὶ ἠυχόμεθα ἐκ τῶν οὕτως ἐπαισχυντέων σπίλων δύνασθαι καθαρθῆναι, μετέστρεψεν εἰς στεναγμοὺς, εἰμὴ ὅτι ταύτην ἡμῶν τὴν λύπην μιᾷ καὶ μόνῃ παραμυθίᾳ κατεπράϋνεν, ὅτι καὶ ἡμᾶς τοῦ ὀδυρμοῦ τοῦ διηνεκοῦς καμάτου εὐλύτωσε, καὶ τοῖς ἰδίοις τραύμασιν ὁπωσδήποτε ἴασιν, εἰ καὶ ἀκουσίως καὶ τῆς ἰδίας συνειδήσεως ἀντιμαχομένης, ὁμολογήσας προενοήσατο, Κύριε Ἀδελφέ. Ἐν προσφάτῳ τοίνυν τοῦ καθήκοντος τῆς ὀφειλομένης προσκυνήσεως ἐκπληρουμένων, ἱκετεύομεν, ἵνα τοῦ λοιποῦ πρὸς τὰς ὑμετέρας ἀκοὰς, τοὺς ἐντεῦθεν παραγινομένους, εὐχερῶς μὴ προσδέχησθε, μὴ δὲ τοὺς παρ' ἡμῶν ἀποκοινωνητέους, εἰς κοινωνίαν τοῦ λοιποῦ θελήσητε δέξασθαι, ἐπειδὴ τοῦτο καὶ τῇ ἐν Νικαίᾳ Συνόδῳ ὁρισθὲν εὐχερῶς εὕροι ἡ σὴ σεβασμιότης. Εἰ γὰρ καὶ περὶ κατωτέρων Κληρικῶν καὶ περὶ λαϊκῶν φαίνεται ἐκεῖ παραφυλάττεσθαι, πόσῳ μᾶλλον τοῦτο περὶ Ἐπισκόπων βούλεται παραφυλαχθῆναι; Μὴ οὖν οἱ ἐν τῇ ἰδίᾳ ἐπαρχίᾳ ἀπο τῆς κοινωνίας ἀναρτηθέντες, παρὰ τῆς σῆς ἁγιωσύνης, σπουδαίως καὶ καθὼς μὴ χρὴ, φανῶσιν ἀποκαθιστάμενοι τῇ κοινωνίᾳ. Καὶ τῶν Πρεσβυτέρων δὲ ὁμοίως καὶ τῶν ἑπομένων Κληρικῶν, τὰς ἀναιδεῖς ἀποφυγὰς, ὡς ἔστι σου ἄξιον, ἀποδιώξει ἡ ἁγιωσύνη ἡ σὴ, ἐπειδὴ καὶ οὐ διά τινος ὅρου τῶν Πατέρων τοῦτο ἀπηγόρευται τῇ ἐν Ἀφρικῇ Ἐκκλησίᾳ, καὶ τὰ ψηφίσματα τῆς ἐν Νικαίᾳ Συνόδου, εἴτε Κληρικοὺς τοῦ κατωτέρου βαθμοῦ, εἴτε αὐτοὺς τοὺς Ἐπισκόπους, τοῖς ἰδίοις Μητροπολίταις φανερώτατα κατέπεμψαν. Συνετῶς γὰρ καὶ δικαίως συνεῖδεν, ἀτιναδήποτε πράγματα ἀναρῶσι, ταῦτα ἐν τοῖς ἰδίοις ὀφείλειν περατοῦσθαι τόποις. Οὔτε γὰρ μιᾷ καὶ ἑκάστῃ παροικίᾳ ἐλογίσαντο ἐλλείπειν τὴν χάριν τοῦ ἁγίου Πνεύματος, δι' ἧς ἡ δικαιοσύνη ἀπὸ τῶν τοῦ Χριστοῦ Ἱερέων καὶ ὁρᾶται φρονίμως, καὶ κατέχεται σταθερῶς. Μάλιστα, ὅτι ἑνὶ καὶ ἑκάστῳ συγκεχώρηται, ἐὰν περὶ τῆς δίκης τῶν διαγνωσθῶν προσίσταται αὐτῷ, πρὸς τὰς Συνόδους τῆς ἰδίας ἐπαρχίας, ἢ ἔτι μὴν εἰς Οἰκουμενικὴν Σύνοδον ἐκκαλέσασθαι. Εἰ μὴ, ἆρά τίς ἐστιν, ὅστις πιστεύσει, ἑνὶ ὡτινιδήποτε δύνασθαι τὸν Θεὸν ἡμῶν ἐμπνεῦσαι τὴν δικαιοσύνην, τοῖς δὲ ἀναριθμήτοις εἰς Σύνοδον συνηθροισμένοις Ἱερεῦσιν ἀρνεῖσθαι; πῶς δὲ αὕτη ἡ περαματικὴ κρίσις βεβαία ἔσται, πρὸς ἣν τῶν μαρτύρων τὰ ἀναγκαῖα πρόσωπα, ἢ διὰ τὴν τῆς φύσεως, ἢ διὰ τὴν τοῦ γήρως ἀσθένειαν, ἢ πολλοῖς ἄλλοις ἐμποδισμοῖς ἐνεχθῆναι οὐ δύναται; Περὶ γὰρ τοῦ, τινὰς, ὡσανεὶ ἐκ τοῦ πλευροῦ τῆς σῆς ἁγιωσύνης πέμπεσθαι, οὐδεμιᾷ τῶν Πατέρων Συνόδῳ ὁρισθὲν εὑρίσκομεν· ἐπειδὴ, ὅπερ πάλαι διὰ τοῦ αὐτοῦ Συνεπισκόπου ἡμῶν Φαυστίνου, ὡσανεὶ ἐκ μέρους τῆς ἐν Νικαίᾳ Συνόδου αὐτόθεν ἀπέσταλτο, ἐν ταῖς ἀληθεστέραις ἀπογραφαῖς τῆς ἐν Νικαίᾳ, ἅσπερ ἐδεξάμεθα ἀπὸ τοῦ ἁγιωτάτου Κυρίλλου, τοῦ τῆς Ἀλεξανδρέων Ἐκκλησίας Συνεπισκόπου ἡμῶν, καὶ παρὰ τοῦ προσκυνητοῦ Ἀττικοῦ τοῦ ἐν Κωνσταντινουπόλει Ἐπισκόπου πεμφθείσας ἐκ τῶν αὐθεντικῶν, αἵτινες ἔτι μὴν πρὸ τούτου, διὰ Ἰννοκεντίου τοῦ Πρεσβυτέρου καὶ Μαρκέλλου τοῦ Ὑποδιακόνου, δι' ὧν πρὸς ἡμᾶς παρ' ἐκείνων ἀπεστάλησαν, τῷ τῆς προσκυνητῆς μνήμης Βονιφατίῳ τῷ Ἐπισκόπῳ τῷ προηγησαμένῳ ὑμῶν, παρ' ἡμῶν

ἐξεπέμφθησαν: τοιοῦτο τίποτε οὐκ ἠδυνήθημεν εὑρεῖν. Ἐκβιβάστας τοίνυν Κληρικοὺς ἡμῶν, τινῶν αἰτούντων, μὴ θέλετε ἀποστέλλειν, μήτε παραχωρεῖν, ἵνα μὴ τὸν καπνώδη τύφον τοῦ Κόσμου δόξωμεν εἰσάγειν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ἥτις τὸ φῶς τῆς ἁπλότητος καὶ τῆς ταπεινοφροσύνης τὴν ἡμέραν, τοῖς τὸν Θεὸν ἰδεῖν ἐπιθυμοῦσι προσφέρει. Τοῦ γὰρ κλαυσίμου Ἀπιαρίου ἤδη ἀπὸ τοῦ ἀδελφοῦ ἡμῶν Φαυστίνου, κατὰ τὰς ἰδίας ἀθεμίτους ἀχρειοσύνας, ἐκ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἀποκινηθέντος, τοῦτον τῇ δοκιμῇ καὶ ῥυθμίσει τῆς σῆς ἁγιωσύνης, ἐν τῷ σώζεσθαι τὴν ἀδελφικὴν ἀγάπην, περαιτέρω ἡ Ἀφρικὴ οὐδαμῶς ὑπομένει.

Ἡ ὑπογραφή. Ὁ Θεὸς ἡμῶν τὴν ἁγιωσύνην ὑμῶν ἐπὶ μήκιστον χρόνον φυλάξοι ὑπὲρ ἡμῶν εὐχομένην, Κύριε Ἀδελφέ.

Ἑρμηνεία.

Καὶ τοῖς ὡς ἂν ἐξ ὕπνου ἑαυτοῖς παραπηδῶσιν εἰς τὸν ἀγῶνα, ὠδίνοντα καὶ μέλλοντα ἑλκῦσαι, ἑαυτοῖς δὲ πειρασμὸν ἐπισπασαμένοις θαλαττομαχίας καὶ πολλῆς κυματώσεως, μᾶλλον δὲ καὶ τοῖς ἀδελφοῖς προσεκκαίουσιν ἄνθρακα ἁμαρτωλῶν, καὶ αὐτοῖς κοινωνητέον, ἅτε δὴ ἐν ὀνόματι Χριστοῦ παρερχομένοις εἰς τοῦτο, εἰ καὶ μὴ προσέχουσιν αὐτοῦ τοῖς λόγοις διδάσκοντος· «Προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν». [Ματθ. κς'. 41.] Καὶ πάλιν ἐν εὐχῇ λέγειν τῷ Πατρί· «Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ» [Λουκ. ιά. 4.] Ἴσως δὲ ἀγνοοῦσι τὰς πολλάκις γινομένας ἀναχωρήσεις τοῦ οἰκείου Δεσπότου καὶ Διδασκάλου ἡμῶν ἀπὸ τῶν θελόντων ἐπιβουλεύειν, καὶ ὅτι ἔσθ' ὅτε οὔτε παρρησίᾳ περιεπάτει δι' αὐτοὺς, καὶ ὅτι, καὶ ὅτε καιρὸς τοῦ πάθους αὐτοῦ προσήγγισεν, οὐχ ἑαυτὸν παρέδωκεν, ἀλλ' ἐξεδέξατο ἕως ἦλθον ἐπ' αὐτὸν μετὰ μαχαιρῶν καὶ ξύλων. Λέγει οὖν πρὸς αὐτούς· «Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με;» [Μάρκ. ιδ'. 48]. Οἱ καὶ παρέδωκαν αὐτὸν, φησὶ, Πιλάτῳ. Καθ' ὁμοιότητα γοῦν αὐτοῦ, καὶ οἱ κατὰ σκοπὸν αὐτοῦ βαίνοντες πεπόνθασι, μεμνημένοι τῶν θείων αὐτοῦ λόγων, δι' ὧν ἐπιστηρίζων ἡμᾶς περὶ τῶν διωγμῶν λέγει· «Προσέχετε ἑαυτοῖς· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς.» [Λουκ. κά. 12.] Παραδώσουσι δὲ, εἶπεν, ἀλλ' οὐχὶ ἑαυτοὺς παραδώσετε. Καὶ ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσεσθε διὰ τὸ ὄνομά μου, ἀλλ' οὐχὶ ἑαυτοὺς ἄξετε, ἐπεὶ καὶ μεταπηδᾷν ὑμᾶς βούλεται ἀπὸ τόπον εἰς τόπον διωκομένους, διὰ τὸ ὄνομα αὐτοῦ. Ὡς πάλιν ἀκούομεν αὐτοῦ λέγοντος· «Καὶ ὅτε διώκουσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἑτέραν·» [Μάτθ. ί. 23.] οὐ γὰρ θέλει αὐτομολεῖν ἡμᾶς πρὸς τοὺς τοῦ διαβόλου ὑπασπιστὰς καὶ δορυφόρους, ὅπως μὴ καὶ πλειόνων θανάτων αἴτιοι αὐτοῖς γενώμεθα, ὡς ἂν καταναγκάζοντες αὐτοὺς μᾶλλον κατατραχύνεσθαι καὶ τελεσιουργεῖν τὰ θανατηφόρα ἔργα, ἀλλ' ἐκδέχεσθαι καὶ προσέχειν ἑαυτοῖς. Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. [Μάτθ. ις'. 41.] Οὕτω Στέφανος πρῶτος κατ' ἴχνος αὐτοῦ μαρτύριον ἀναδεξάμενος ἐν Ἱεροσολύμοις, συναρπασθεὶς ὑπὸ τῶν παρανόμων, καὶ ἀχθεὶς ἐν τῷ συνεδρίῳ λιθοβολούμενος ἐν ὀνόματι Κυρίου Ἰησοῦ Χριστοῦ, ἐδοξάσθη, παρακαλῶν καὶ λέγων· «Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην.» [Πραξ. ζ'. 60.] Οὕτως Ἰάκωβος δεύτερος συλληφθεὶς ὑπὸ Ἡρῴδου, μαχαίρᾳ τὴν κεφαλὴν ἀπετμήθη. [Πράξ. ιβ'. 4.] Οὕτως ὁ πρόκριτος τῶν Ἀποστόλων Πέτρος, πολλάκις συλληφθεὶς καὶ φυλακισθεὶς καὶ ἀτιμασθεὶς, ὕστερον ἐν Ῥώμῃ ἐσταυρώθη. Καὶ ὁ περιβόητος Παῦλος πολλάκις παραδοθεὶς καὶ ἕως θανάτου κινδυνεύσας, πολλά τε ἀθλήσας, καὶ καυχησάμενος ἐν πολλοῖς διωγμοῖς καὶ θλίψεσιν, ἐν τῇ αὐτῇ πόλει καὶ αὐτὸς μαχαίρᾳ τὴν κεφαλὴν ἀπετμήθη, ὃς ἐν οἷς ἐκαυχήσατο, κατέληξε· καὶ ὅτι ἐν Δαμασκῷ σπυ-

(1) Ὅρα ὅτι, ἀγκαλὰ καὶ οἱ ἄλλοι Κανόνες κανονίζουσι τοὺς ἀρνησιχρίστους δι' ἐπιτιμίων ἄλλων καὶ ἱκανοποιήσεως, οὗτος ὅμως ὁ Ἅγιος λέγει, ὅτι ἡ ὁλοκάρδιος καὶ τελειοτάτη μετάνοια τῶν τοιούτων εἶναι, νὰ ὑπάγουν δεύτερον νὰ ὁμολογήσουν τὸν Χριστὸν ἐνώπιον τῶν τυράννων, ἔμπροσθεν τῶν ὁποίων τὸν ἠρνήθησαν πρότερον.

ρίδι ἐχαλάσθη διὰ τοῦ τείχους νυκτὸς, καὶ ἐξέφυγε τὰς χεῖρας τοῦ ζητοῦντος αὐτὸν πιάσαι. Τὸ γὰρ προκείμενον ἦν αὐτοῖς ἐν πρώτοις, εὐαγγελίζεσθαι καὶ διδάσκειν τὸν λόγον τοῦ Θεοῦ, ἐν οἷς ἐπιστηρίζοντες τοὺς ἀδελφοὺς ἐμμένειν ἐν τῇ πίστει, καὶ τοῦτο ἔλεγον· «Ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.» Ἐζήτουν γὰρ οὐ τὸ ἑαυτῶν συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι, καὶ ἦν πολλὰ λέγειν αὐτοῖς εἰς ταῦτα πρὸς τὸ κατὰ λόγον πράσσειν, εἰμὴ, ὡς λέγει ὁ Ἀπόστολος, «ἐπιλίποι δ' ἂν ἡμᾶς διηγουμένους ὁ χρόνος». [β'. Κορινθ. ιά. 32. Πράξ. ιδ'. 22. ά. Κορινθ. ί. 33. Ἑβρ. ιά. 32].

Ἑρμηνεία.

Ἐκεῖνοι ὁποῦ σκωθοῦν ἀπὸ τὸν ὕπνον, καὶ μάλιστα ἀπὸ ὀλίγον ὕπνον, δὲν ἔχουσι στερεὸν τὸν λογισμὸν αὐτῶν, ἀλλὰ τεταραγμένον καὶ ἀκατάστατον. Μὲ τούτους λοιπὸν παρωμοίασεν ὁ Ἅγιος ἐκείνους ὁποῦ παραπηδῶσιν εἰς τὸν ἀγῶνα τοῦ μαρτυρίου, ἤτοι ἐκείνους ὁποῦ δὲν πηγαίνουν εὐτάκτως, ἀλλὰ θρασέως καὶ ἀπερισκέπτως ρίπτουσι τὸν ἑαυτόν τους εἰς αὐτὸν, οὐχὶ φανερὸν ὄντα, ἀλλὰ μελετώμενον ἀπὸ τοὺς διώκτας, οὐδὲ παρόντα καὶ ἐνεργούμενον ἤδη. ἀλλὰ ἀργοποροῦντα εἰς τὸ νὰ τραβίξῃ τοὺς ἀγωνιζομένους Χριστιανοὺς, καὶ τραβίζουσιν εἰς μὲν τὸν ἑαυτόν τους πειρασμὸν, ἀνάπτουσι δὲ καὶ εἰς τοὺς ἄλλους Χριστιανοὺς περισσότερον τὰς τιμωρίας τῶν διωκτῶν μὲ τὸ ἄτακτον αὐτῶν κίνημα. Πλὴν ἂν καὶ ἄξιοι κατηγορίας οὗτοι ἦναι, μ' ὅλον τοῦτο, ἐπειδὴ καὶ διὰ τὸ ὄνομα τοῦ Χριστοῦ πηδοῦν ἔτσι εἰς τὸ μαρτύριον, προστάζει ὁ Ἅγιος διὰ τοῦ παρόντος Κανόνος νὰ συγκοινωνοῦν μὲ τοὺς ἄλλους πιστοὺς, ἀγκαλὰ καὶ νὰ μὴ ἀκολουθοῦσι τὸ παράδειγμα τοῦ Χριστοῦ, ὁ ὁποῖος καὶ μὲ τὸν λόγον ἐδίδασκε, ποτὲ μὲν, ὅτι νὰ προσευχώμεθα διὰ νὰ μὴ ἔμβωμεν εἰς πειρασμὸν, ποτὲ δὲ ἔλεγεν εἰς τοὺς μαθητάς του καὶ Ἀποστόλους, ὅτι ἔχουν νὰ τοὺς παραδώσουν ἄλλοι εἰς τὰς συναγωγὰς καὶ συνέδρια, ὄχι νὰ παραδώσουν αὐτοὶ τὸν ἑαυτόν τους. Καὶ πάλιν τοὺς ἔλεγεν, ὅταν τοὺς διώκωσιν οἱ τύραννοι ἀπὸ μίαν πόλιν, νὰ φεύγουν καὶ νὰ πηγαίνουν εἰς τὴν ἄλλην, καὶ νὰ μὴ πηγαίνουν εἰς αὐτοὺς αὐτοὶ ἀπὸ λόγου των, διὰ νὰ μὴ τοὺς σκληρύνουσι περισσότερον, καὶ γίνωνται αἴτιοι νὰ θανατώνουν περισσοτέρους Χριστιανούς. Ὄχι μόνον δὲ μὲ τὸν λόγον ἐδίδασκε ταῦτα ὁ Κύριος, ἀλλὰ καὶ μὲ τὸ ἔργον τὸν λόγον ἐβεβαίονε. Καὶ πρὸ τοῦ πάθους γὰρ ἀνεχώρει πολλάκις ἀπὸ τὸν θυμὸν τῶν Ἰουδαίων, καὶ ἐκρύβετο ἀπὸ αὐτούς. Ἐν δὲ τῷ καιρῷ τοῦ πάθους δὲν παρέδωκεν αὐτὸς τὸν ἑαυτόν του εἰς τοὺς Ἰουδαίους, ἀλλ' ἐκαρτέρησεν αὐτοὺς ἕως ὁποῦ ἦλθον εἰς τὸν κῆπον καὶ τὸν ἐπίασαν, καὶ εἰς τὸν Πιλάτον παρέδωκαν, ὡς διηγοῦνται τὰ θεῖα Εὐαγγέλια. Ὅθεν καὶ οἱ τοῦ Κυρίου μιμηταὶ Ἀπόστολοι ἀκολουθοῦντες καὶ εἰς τὰ ἀνωτέρω λόγια τοῦ Κυρίου, καὶ εἰς τὸ διὰ τῶν ἔργων παράδειγμά του, ἔτσι παρομοίως ἔκαμαν. Ἔτσι ὁ πρωτομάρτυς Στέφανος δὲν ἐπῆγεν, ἀλλ' ἐτραβίχθη εἰς τὸ συνέδριον ἀπὸ τοὺς Ἰουδαίους καὶ λιθοβοληθεὶς ἐμαρτύρησεν. Οὕτω ὁ Ἰάκωβος ὁ ἀδελφὸς Ἰωάννου ἐπιάσθη ἀπὸ τὸν Ἡρώδην καὶ ἀπεκεφαλίσθη. Ἔτσι ὁ Πέτρος πιασθεὶς ἐσταυρώθη. Οὕτω ὁ Παῦλος πρότερον μὲν ἐκρεμάσθη ἀπὸ τὸ τειχόκαστρον τῆς Δαμασκοῦ μὲ ζιμπίλι, καὶ ἔφυγεν ἀπὸ τὸν Ἐθνάρχην τοῦ βασιλέως Ἀρέτα ὁποῦ ἐζήτει νὰ τὸν πιάσῃ, ὕστερον δὲ ἐν τῇ Ρώμῃ πιασθεὶς ἀπεκεφαλίσθη. Καὶ ἄλλα πάμπολλα ὁμοίως ἤθελα διηγηθῶ εἰς αὐτοὺς, ἂν εἶχον καιρόν.

ΚΑΝΩΝ Ι'.

Ὅθεν οὐκ ἔστιν εὔλογον οὐδὲ τοὺς ἀπὸ Κλήρου αὐτομολήσαντας, ἐκπεπτωκότας, καὶ ἀναπαλαίσαντας, ἔτι ἐν τῇ λειτουργίᾳ εἶναι, ἅπερ δὴ καταλείψαντας τὸ τοῦ Κυρίου ποίμνιον καὶ μωμησαμένους ἑαυτοὺς, ὅπερ οὐδεὶς τῶν Ἀποστόλων πεποίηκε. Καὶ γὰρ ὁ πολλοὺς διωγμοὺς ἐξανύσας, πολλά τε ἆθλα ἀγωνισμάτων ἐνδειξάμενος, ὁ μακάριος Ἀπόστολος Παῦλος, ἐγνωκὼς ὅτι κάλλιόν ἐστιν ἀναλύσαι, καὶ σὺν Χριστῷ εἶναι, ἐπιφέρει λέγων· «Τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς». [Φιλιπ. ά. 24.]. Σκοπῶν γὰρ οὐ τὸ ἑαυτοῦ συμφέρον «ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν» [ά. Κορ. ι'. 33.] ἀναγκαιότερον τῆς ἑαυτοῦ ἀναπαύσεως ἡγήσατο τὸ παραμένειν τοῖς ἀδελφοῖς καὶ ἐπιμελεῖσθαι αὐτῶν, ὃς καὶ τὸν διδάσκοντα θέλει εἶναι ἐν τῇ διδασκαλίᾳ τύπον γινόμενον τῶν πιστῶν. [Ρωμ. ιϐ'. 7. ά. Τιμ. δ'. 2.] Ὅθεν οἱ τῇ εἰρκτῇ ἐπιδικαζόμενοι, τῆς λειτουργίας ἐκπεπτωκότες καὶ ἀναπαλαίσαντες, πάνυ ἀναισθητοῦσι. Πῶς γὰρ αἰτοῦσιν ὃ κατέλειψαν, δυνάμενοι τοῖς ἀδελφοῖς εὔχρηστοι εἶναι ἐν καιρῷ τοιούτῳ; Ἕως μὲν οὖν ἄπταιστοι ἦσαν, συγγνώμην εἶχον ἐπὶ τῇ παραλόγῳ αὐτῶν πράξει, ὅτε δὲ ἔπταισαν, ὡς ἂν περπερευσάμενοι καὶ ἑαυτοὺς μωμησάμενοι, οὐκ ἔτι δύνανται λειτουργεῖν. Διὸ φροντιζέτωσαν μᾶλλον ἐν ταπεινοφροσύνῃ πῶς ἐκτελέσουσι, παυσάμενοι τῆς κενοδοξίας. Ἀρκεῖ γὰρ αὐτοῖς ἡ κοινωνία μετ' ἐπιστάσεως (1) καὶ ἀκριβείας πρὸς ἀμφότερα γινομένη (2), καὶ ἵνα μὴ δόξωσι λυπεῖσθαι μετὰ βίας περιδρασσόμενοι τῆς ἐντεῦθεν ἀναλύσεως, καὶ ἵνα μή τινες ἐκπεσόντες, προφασίζωνται, ὡς ἂν διὰ τὴν ἀφορμὴν τῆς ἐπιτιμήσεως ὑπεκλελυμένοι, οἵτινες πλέον ἁπάντων αἰσχύνην καὶ ὄνειδος ἕξουσι κατ' ἐκεῖνον τὸν τεθεικότα θεμέλιον, καὶ μὴ ἰσχύσαντα ἐκτελέσαι. «Ἄρξονται γὰρ, φησὶ, πάντες οἱ παραπορευό-

(1) Ἐν ἄλλοις, μετ' ἐπιτάσεως.

(2) Ἐν ἄλλοις, γινομένοις.

μενοι ἐμπαίζειν αὐτὸν, λέγοντες, οὗτος ὁ ἄνθρωπος θεμέλιον ἔθηκε, καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι.» [Λουκ. ιδ'. 29. 30.].

Ἑρμηνεία.

Ἐπειδὴ ἀνωτέρω εἶπεν ὁ Ἅγιος διὰ τοὺς ἀφ' ἑαυτῶν τρέχοντας εἰς τὸ μαρτύριον, τώρα εἰς τὸν παρόντα Κανόνα λέγει περὶ Κληρικῶν ὁποῦ τοιοῦτό τι πράξουν, διορίζων, ὅτι ἀνίσως Ἱερωμένοι καὶ Κληρικοὶ ἐπῆγαν μὲν ἀφ' ἑαυτοῦ των εἰς τὸ μαρτύριον, ἔπειτα δὲ μὴ ὑποφέροντες τὰ βάσανα ἠρνήθησαν, καὶ πάλιν μετὰ τὴν ἄρνησιν ὡμολόγησαν δεύτερον τὸν Χριστὸν, οὗτοι δὲν πρέπει πλέον νὰ εὑρίσκωνται εἰς τὴν λειτουργίαν, ἀλλὰ νὰ καθαίρωνται. Καὶ ἡ ἀφορμὴ εἶναι, ἕνα μὲν, διατὶ ἀφῆκαν τὸ ποίμνιόν τους καὶ ἀνεχώρησαν, εἰς τὸ ὁποῖον ἐδύναντο νὰ φανοῦν χρήσιμοι ἐν καιρῷ τοιούτῳ, στηρίζοντες αὐτὸ εἰς τὴν εὐσέβειαν, ὡς κλονούμενον διὰ τὸν διωγμόν· καὶ ἄλλο δὲ, διατὶ αὐτομολήσαντες καὶ ἀρνηθέντες τὴν πίστιν, μῶμον καὶ ἔγκλημα κωλυτικὸν τοῦ Κλήρου εἰς τὸν ἑαυτόν τους ἐπροσκόλλησαν. Τὸ δὲ νὰ καταφρονήσουν τὴν διδασκαλίαν τοῦ λαοῦ των, καὶ νὰ προτιμήσουν τὸ ἐδικόν τους συμφέρον, τοῦτο κανένας ἀπὸ τοὺς Ἀποστόλους δὲν ἔκαμε. Διότι ὁ Ἀπόστολος Παῦλος, ὁ πολλοὺς διωγμοὺς ὑπομείνας καὶ ἆθλα, καὶ μ' ὅλον ὁποῦ ἐγνώριζεν ὅτι εἶναι καλήτερον καὶ ἀναπαυτικώτερον εἰς αὐτὸν νὰ τελευτήσῃ, διὰ νὰ ἦναι μαζῆ μὲ τὸν Χριστὸν, ὅμως μὴ θέλωντας τὸ ἐδικόν του συμφέρον, ἀλλὰ τὸ συμφέρον τῶν πολλῶν Χριστιανῶν, ἀναγκαιότερον στοχαζόμενος ἀπὸ τὴν ἐδικήν του ἀνάπαυσιν, εἶπεν ὅτι, τὸ νὰ μένῃ ἀκόμη εἰς τὴν ζωὴν αὐτὴν καὶ νὰ ταλαιπωρῆται, καὶ νὰ βασανίζεται διὰ τὴν σωτηρίαν καὶ διδασκαλίαν τοῦ λαοῦ, τοῦτο εἶναι ἀναγκαιότερον εἰς τὸν λαόν. Οὐ μόνον δὲ αὐτὸς ὑπέμεινε τοῦτο καὶ ἐποίει, ἀλλὰ καὶ παραγγέλλει, ὅτι οἱ διδάσκαλοι καὶ ποιμένες πρέπει νὰ μένουν εἰς τὴν διδασκαλίαν τοῦ ποιμνίου των, καὶ νὰ γίνωνται καλὸν παράδειγμα εἰς αὐτούς. Διὰ ταῦτα οὖν πάντα οἱ αὐτομολήσαντες καὶ ἔπειτα ἀρνηθέντες Ἱερωμένοι, ἀναίσθητοι εἶναι ἐὰν ζητοῦν νὰ ἔχουν ἐκεῖνο ὁποῦ θεληματικῶς παρήτησαν· διότι, εἰ μὲν δὲν ἤθελαν ἀρνηθοῦν, εἶχον συγχώρησιν διὰ τὸ παράλογον κίνημα ὁποῦ ἔπραξαν, οὐ μόνον νὰ αὐτομολήσουν θεληματικῶς εἰς τὸ μαρτύριον, ἀλλὰ πολλῷ μᾶλλον νὰ ἀφήσουν τὸ τοῦ Κυρίου ποίμνιον, καὶ νὰ μὴ στηρίζουν αὐτὸ μὲ τὰς διδασκαλίας. Ἐπειδὴ δὲ ἠρνήθησαν, καθαιροῦνται ἀπὸ τὴν ἱερωσύνην, διατὶ ἀπὸ περπέρειαν, ἤτοι ἀπὸ οἴησιν καὶ ἀλαζονείαν θαρρήσαντες εἰς τὸν ἑαυτόν τους, ὥρμησαν εἰς τὸν ἀγῶνα, ἔπειτα ἀρνηθέντες, μῶμον εἰς τὸν ἑαυτόν τους προσεκόλλησαν. Λοιπὸν ἂς παύσουν ἀπὸ τὸ νὰ ζητοῦν πάλιν ἐκ κενοδοξίας τῆς ἱερωσύνης τὸ ἀξίωμα, καὶ ἂς σπουδάζουν μόνον πῶς νὰ τελειώσουν τὴν δευτέραν ὁμολογίαν, καὶ τὸν ὑπὲρ τῆς πίστεως ἀγῶνα. Ἀρκετὸν γὰρ εἶναι εἰς αὐτοὺς καὶ αὐτὸ, τὸ νὰ συγκοινωνοῦν μὲ τοὺς ἄλλους πιστοὺς εἰς τὰς προσευχὰς, ἢ καὶ εἰς τὴν θείαν μετάληψιν τῶν Μυστηρίων, καὶ τοῦτο διὰ δύο αἰτίας. Πρῶτον μὲν, ἵνα μὴ ὡς ἀκοινώνητοι ὄντες λυπῶνται, καὶ μάλιστα τοιοῦτον βίαιον τέλος ἐν τῷ μαρτυρίῳ ὑπὲρ πίστεως λαμβάνοντες· δεύτερον δὲ, ἵνα μή τινες βκσανιζόμενοι, καὶ ἀρνηθέντες δεύτερον τὸν Χριστὸν, προφασίζωνται ὅτι διὰ τὸ ἐπιτίμιον τῆς ἀκοινωνησίας ἐμικροψύχησαν εἰς τὸν ἀγῶνα, καὶ δὲν ἐστάθησαν στερεοί, καὶ ἐκ τούτου ἵνα μὴ αἰσχύνην καὶ ὄνειδος λάβωσι περισσότερον ἀπὸ τὸ τῆς πρώτης ἀρνήσεως καὶ ἐδῶ καὶ εἰς τὴν μέλλουσαν κρίσιν, κατ' ἐκεῖνον τὸν ἄνθρωπον, ὁποῦ ἔβαλε μὲν θεμέλιον, μὴ δυνηθεὶς δὲ νὰ τελειώσῃ, ἐπεριπαίζετο ἀπὸ τοὺς διαβάτας, ὡς λέγει τὸ ἱερὸν Εὐαγγέλιον. Ὅρα καὶ τὸν ξϚ'. Ἀποστολικόν.

ΚΑΝΩΝ ΙΑ'.

Οἱ γὰρ πρῶτον παραπηδήσαντες ἐν τῷ βράσματι τοῦ διωγμοῦ, περιεστῶτες εἰς τὸ δικαστήριον, καὶ θεωροῦντες τοὺς ἁγίους Μάρτυρας σπεύδοντας ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως, [Φιλιπ. γ'. 14.] ἐν καλῷ τῷ ζήλῳ προθυμούμενοι ἐπιδίδουν ἑαυτοὺς εἰς τοῦτο, πολλῇ τῇ παρρησίᾳ χρώμενοι, βλέποντες μάλιστα τοὺς ὑποσυρομένους καὶ ἐκπίπτοντας, δι' οὓς ὑποθερμαινόμενοι ἔσωθεν, καὶ ἐνηχούμενοι καταπολεμῆσαι τὸν ὑπεραιρόμενον καὶ ἀντικείμενον, ἔσπευδον εἰς τοῦτο «Ἵνα μὴ καὶ δοκῇ παρ' ἑαυτῷ φρόνιμος εἶναι» [Παροιμ. γ'. 7.], ἐφ' οἷς κατὰ πανουργίαν ἔδοξε νικᾶν, εἰ καὶ ἐλάνθανεν ἑαυτὸν νικώμενον ὑπὸ τῶν ἐγκαρτερούντων τὰς τῶν ξυστήρων καὶ μαστίγων βασάνους, τήν τε ὀξύτητα τῆς μαχαίρας, καὶ τὰς φλέξεις τοῦ πυρὸς, καὶ τὰς τῶν ὑδάτων καταποντίσεις, καὶ τοῖς κατὰ πίστιν ὑπεξιοῦσιν εὐχὰς καὶ δεήσεις γίνεσθαι, ἤτοι ὑπὲρ τῶν ἐν φυλακῇ κατατιμωρηθέντων καὶ προδεδομένων, ὑπὸ λιμοῦ καὶ δίψης, ἤτοι, ὑπὲρ τῶν ἔξωθεν τῆς φυλακῆς ἐπὶ τοῦ δικαστηρίου καταβασανισθέντων διὰ ξυστήρων καὶ μαστίγων, ὕστερον δὲ ἡττηθέντων ὑπὸ τῆς ἀσθενείας τῆς σαρκὸς, ἄξιόν ἐστιν ἐπινεῦσαι. Συμπάσχειν γὰρ καὶ ἀλγεῖν τοῖς ὀδυρομένοις καὶ στενάζουσιν ὑπὲρ τῶν ἐν τῷ ἀγῶνι ἡττηθέντων ὑπὸ τῆς πολλῆς βίας τοῦ κακομηχάνου διαβόλου, ἤτοι ὑπὲρ γονέων, ἀδελφῶν, ἢ τέκνων, οὐδένα οὐδὲν καταβλάπτει. Ἴσμεν γὰρ καὶ δι' ἑτέρων πίστιν ἀπολαύσαντάς τινας τῆς τοῦ Θεοῦ ἀγαθότητος, ἐπί τε ἀφέσει ἁμαρτιῶν καὶ ὑγείᾳ σώματος καὶ ἀναστάσει νεκρῶν. Μεμνημένοι τοίνυν τῶν πολλῶν αὐτῶν καμάτων, ὧν προϋπήνεγκαν ἐν ὀνόματι τοῦ Χριστοῦ καὶ τῶν ταλανισμῶν, οὐ μὴν ἀλλὰ καὶ μεταγνόντων αὐτῶν καὶ ἀποδυρομένων τὸ πεπραγμένον αὐτοῖς κατὰ προδοσίαν, ἐν ἀτονίᾳ καὶ νεκρότητι τοῦ σώματος, ἔτι τε καὶ μαρτυρουμέ-

νων ἀπολιτεύτων γενομένων (1) ἐν τῷ βίῳ αὐτῶν, συνευχόμεθα καὶ συμπαρακαλοῦμεν ὑπὲρ ἱλασμοῦ αὐτῶν μετὰ τῶν ἄλλων καθηκόντων, διὰ τοῦ γενομένου ὑπὲρ ἡμῶν Παρακλήτου πρὸς τὸν Πατέρα ἱλασκομένου ταῖς ἁμαρτίαις ἡμῶν· «Καὶ ἐάν τις γὰρ, φησὶν, ἁμάρτῃ, Παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστιν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν [ά. Ἰωάν. 6'. 1. 2.].

Ἑρμηνεία.

Τὸ νόημα τοῦ παρόντος Κανόνος εἶναι τοῦτο, ὅτι πρέπει νὰ προσευχώμεθα καὶ νὰ παρακαλοῦμεν διὰ ἐκείνους, ὁποῦ ἐπήδησαν μὲν ἀσκέπτως, ὄχι ὅμως ὅταν δὲν ἦτον ἀνοικτὸν τὸ στάδιον τοῦ μαρτυρίου ἀπὸ τοὺς διώκτας ὡς οἱ ἀνωτέρω, ἀλλ' ὅταν ἦτον ἐπάνω εἰς τὴν ζέσιν καὶ τὴν ἀκμήν του ὁ διωγμὸς, θαρσοποιηθέντες εἰς τοῦτο μὲ τὸ νὰ βλέπουν τοὺς ἁγίους Μάρτυρας νὰ ἀγωνίζωνται, διὰ νὰ λάβουν τοὺς διὰ τοῦ μαρτυρίου οὐρανίους στεφάνους, καὶ μάλιστα διατὶ ἔβλεπον πολλοὺς νὰ ἀπατῶνται καὶ νὰ ἀρνοῦνται τὴν πίστιν, διὰ τὴν πτῶσιν τῶν ὁποίων ἐθερμαίνοντο, ἵνα νικήσουν τὸν διάβολον ὁποῦ τοὺς ἠπάτησεν, ἀγκαλὰ καὶ αὐτὸς ἐνικᾶτο ἀπὸ τοὺς μέχρι τέλους ὑπομένοντας τὰ διὰ ξυστήρων, καὶ μαχαίρας, καὶ πυρὸς, καὶ ὑδάτων μαρτύρια. Διὰ τούτους λοιπὸν, ὁποῦ μὲ τοιοῦτον τρόπον ἐπῆγαν εἰς τὸ μαρτύριον καὶ ἐφυλακίσθησαν μὲν κατ' ἀρχὰς, καὶ ἐβασανίσθησαν μὲ πεῖναν καὶ δίψαν, καὶ διαφόρους πληγὰς, ὕστερον δὲ ἐνικήθησαν ἀπὸ τὴν ἀσθένειαν τῆς σαρκὸς, καὶ ἠρνήθησαν, μετὰ τὴν ἄρνησιν δὲ μετενόησαν καὶ ἐπένθησαν διὰ τὴν πτῶσιν αὐτὴν, καὶ ὑπεξῆλθον, ἤτοι, ἢ ἐν εὐσεβεῖ τῇ πίστει ἀπέθανον, ἢ κρυφίως ἔφυγον ἀπὸ τοὺς ἀπίστους διὰ νὰ φυλάξουν τὴν πίστιν, καὶ μάλιστα ὁποῦ οἱ τοιοῦτοι ἐμαρτυρήθησαν, ὅτι ἦσαν καὶ ἄνθρωποι ἄπειροι καὶ ἀπράγμονες ἀπὸ τὰ τοῦ βίου πράγματα, ἢ καὶ ἐνάρετοι· διὰ τούτους, λέγω, πρέπει νὰ συμπάσχωμεν καὶ νὰ συλλυπούμεθα, καὶ μὲ τοὺς ὑπὲρ αὐτῶν παρακαλοῦντας, εἴτε γονεῖς αὐτῶν ἦσαν οὗτοι, εἴτε ἀδελφοὶ, εἴτε τέκνα, πρέπει νὰ συμπαρακαλοῦμεν τὸν Θεὸν καὶ Πατέρα, διὰ τοῦ γενομένου Παρακλήτου πρὸς αὐτὸν Κυρίου ἡμῶν Ἰησοῦ, ἵνα ἐξιλεωθῇ εἰς αὐτούς. Φησὶ γὰρ ὁ Ἰωάννης, ὅτι ἐάν ἁμαρτήσῃ τινὰς, ἔχομεν Παράκλητον πρὸς τὸν Πατέρα τὸν Ἰησοῦν Χριστὸν, ὁ ὁποῖος εἶναι ἱλασμὸς διὰ τὰς ἁμαρτίας ἡμῶν. Πλὴν καὶ αὐτοὶ οἱ ἀρνηθέντες πρέπει νὰ κάμνουσι τὰ πρέποντα εἰς αὐτοὺς, νηστείας δηλαδὴ, καὶ δάκρυα καὶ ἐλεημοσύνας, ἂν ἔχουν τὸν τρόπον (τοῦτο γὰρ δηλοῖ τὸ, μετὰ τῶν ἄλλων καθηκόντων), λέγω δὲ νὰ παρακαλοῦμεν δι' αὐτοὺς, διατὶ μανθάνομεν ἀπὸ τὰς ἱστορίας τῆς θείας Γραφῆς, ὅτι πολλοὶ διὰ τὴν πίστιν, καὶ παρακάλεσιν τῶν ἄλλων, ἀπήλαυσαν τοῦ Θείου ἐλέους· καὶ ἄλλοι μὲν ἔλαβον συγχώρησιν τῶν ἁμαρτιῶν τους, (ὡς οἱ φίλοι τοῦ Ἰὼβ διὰ τὴν δέησιν αὐτοῦ), ἄλλοι δὲ ἔλαβον τὴν ὑγείαν τοῦ σώματος, (ὡς ὁ Παραλυτικὸς διὰ τὴν πίστιν τῶν αἰρόντων αὐτοῦ τὸν κράβδατον), καὶ ἄλλοι ἀνεστήθησαν ἀπὸ τοὺς νεκροὺς, (ὡς ὁ Λάζαρος καὶ ἡ θυγάτηρ τοῦ Ἰαείρου, καὶ ὁ υἱὸς τῆς χήρας) διὰ τὴν παρακάλεσιν τῶν γονέων καὶ συγγενῶν αὐτῶν.

ΚΑΝΩΝ ΙΒ'.

Τοῖς γὰρ ἀργύρια δεδωκόσι πρὸς τὸ ἀνενοχλήτους αὐτοὺς παντάπασιν γενέσθαι ἀπὸ πάσης κακίας, οὐκ ἔστιν ἔγκλημα προσάγειν. Ζημίαν γὰρ καὶ ἀπώλειαν χρημάτων ὑπήνεγκαν, ἵνα μὴ τὴν ψυχὴν ἑαυτῶν ζημιωθῶσιν ἢ ἀπολέσωσιν, ὅπερ ἄλλοι κατὰ αἰσχροκέρδειαν οὐ πεποιήκασι, καίτοι γε τοῦ Κυρίου λέγοντος· «Τί γὰρ ὠφελήσει ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδίσῃ καὶ τὴν ψυχὴν αὐτοῦ ζημιωθῇ ἢ ἀπολέσῃ; [Μαρκ. ἡ. 36.] «Καὶ ὅτι οὐ δύνασθε Θεῷ δουλεύειν καὶ Μαμμωνᾷ». [Ματθ. Ϛ'. 24]. Ἐφάνησαν γὰρ παρ' ἐκείνοις Θεῷ δουλεύοντες, τὰ ἀργύρια μισήσαντες καὶ καταπατήσαντες, καὶ καταφρονήσαντες αὐτῶν, ἀπεπλήρωσάν τε καὶ ἐν τούτῳ τὸ γεγραμμένον· «Λύτρον ἀνδρὸς ψυχῆς ὁ ἴδιος πλοῦτος». [Παροιμ. ιγ'. 8.] Ἐπεὶ καὶ ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων ἀνέγνωμεν, τοὺς συρέντας ἀντὶ Παύλου καὶ Σίλα ἐν Θεσσαλονίκῃ ἐπὶ τοὺς πολιτάρχας, μετὰ καὶ πλησμονῆς, ἀπολυθέντας (2) μετὰ γὰρ τὸ καταβαρῆσαι (3) αὐτοὺς πολλὰ διὰ τὸ ὄνομα, καὶ ἐκταράξαι τὸν ὄχλον καὶ τοὺς πολιτάρχας «Λαβόντες, φησὶ, τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσωνος καὶ τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς, οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ νυκτὸς ἐξέπεμψαν τόν τε Παῦλον καὶ τὸν Σίλαν εἰς Βέρροιαν.» [Πράξ. ιζ'. 10.]

Ἑρμηνεία.

Ἐκεῖνοι δὲ ὁποῦ ἔδωκαν ἀργύρια εἰς τοὺς διώκτας, καὶ διὰ τούτων ἐλυτρώθησαν ἀπὸ τὴν κακίαν, ἤτοι, ἢ ἀπὸ κάθε κάκωσιν καὶ τιμωρίαν, ἢ ἀπὸ τὴν ἄρνησιν, ἤτις ὑπερβαίνει πᾶσαν κακίαν, δὲν εἶναι ἀξιοκατηγόρητοι διὰ τοῦτο, ἐπειδὴ καὶ ἔλαβον ζημίαν καὶ χάσιμον χρημάτων, διὰ νὰ μὴ ζημιωθοῦν καὶ χάσουν τὴν ἐδικήν των ψυχὴν (τὸ ὁποῖον τοῦτο, ἄλλοι διὰ φιλαργυρίαν δὲν ἔκαμαν) καὶ ἐφάνησαν κοντὰ εἰς τοὺς διώκτας ὅτι

(1) Ἐν ἄλλοις οὐχ εὑρίσκεται τὸ, ἀπολιτεύτων γενομένων, ἀλλὰ μόνον τοῦτο, Ἔτι τε καὶ μεμαρτυρημένων ἐν τῷ βίῳ αὐτῶν, ὅπερ δηλοῖ, ὅτι οἱ τοιοῦτοι ἦσαν καὶ ἄνθρωποι θεοφιλοῦς καὶ ἐναρέτου ζωῆς.

(2) Ἐν ἄλλοις, τὸ μετὰ καὶ πλησμονῆς, οὐ κεῖται.

(3) Ἐν ἄλλοις, κατηγορῆσαι.

δουλεύουσι περισσότερον εἰς τὸν Θεὸν, παρὰ εἰς τὸν Μαμμωνᾶν, ἤτοι εἰς τὰ ἀγύρια, καὶ ἐπλήρωσαν τὸ ρητὸν τοῦ Παροιμιαστοῦ, ὁποῦ λέγει, ὅτι λύτρωσις τῆς ψυχῆς τοῦ ἀνθρώπου εἶναι ὁ ἴδιος πλοῦτός του. Διότι καὶ εἰς τὰς Πράξεις τῶν Ἀποστόλων ἀναγινώσκομεν, ὅτι ὁ Ἰάσων καὶ οἱ λοιποὶ, οἱ ἀντὶ Παύλου καὶ Σίλα ἐν Θεσσαλονίκῃ ἀπὸ τοὺς Ἰουδαίους ἐπὶ τοὺς πολιτάρχας φερθέντες, ἔδωκαν ἱκανὰ ἄσπρα εἰς αὐτοὺς, καὶ οὕτως ἐλυτρώθησαν. «Λαβόντες γὰρ, φησὶ, τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσωνος καὶ τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς».

ΚΑΝΩΝ ΙΓ'.

Ὅθεν οὐδὲ τοῖς καταλείψασι πάντα, διὰ τὴν τῆς ψυχῆς σωτηρίαν, καὶ ἀναχωρήσασιν, ἔστιν ἐγκαλεῖν, ὡς ἂν ἑτέρων δι' αὐτοὺς κατασχεθέντων. Καὶ γὰρ καὶ ἐν τῇ Ἐφέσῳ ἀντὶ Παύλου, συνήρπασαν Γάϊον εἰς τὸ θέατρον, καὶ Ἀρίσταρχον, συνεκδήμους Παύλου, καὶ βουλόμενον εἰσελθεῖν εἰς τὸν δῆμον (ἐπεὶ καὶ δι' αὐτὸν, πείσαντα, καὶ μεταστήσαντα, πολὺν ὄχλον ἐπὶ τὴν θεοσέβειαν, ἡ στάσις ἦν γενομένη), οὐκ εἴων αὐτὸν οἱ μαθηταὶ, φησίν. Οὐ μὴν ἀλλὰ «καί τινες τῶν Ἀσιαρχῶν ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτὸν, παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον.» [Πράξ. ιθ'. 30. 31.] εἰ δὲ ἐπιμένοιέν τινες ἐρεσχελοῦντες τοῖς εἰλικρινῶς προσέχουσι τῷ λέγοντι, «σώζων, σῶζε τὴν σεαυτοῦ ψυχὴν, καὶ μὴ περιβλέψῃς εἰς τὰ ὀπίσω.» [Γεν. ιή. 17.] Ὑπομνησθήτωσαν καὶ τοῦ προκρίτου τῶν Ἀποστόλων Πέτρου, «βεβλημένου τε ἤδη εἰς φυλακὴν, καὶ παραδοθέντος τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτὸν», [Πράξ. ιϐ'. 4. 18], οὗ ἐν νυκτὶ φυγόντος καὶ ἐκ χειρὸς τοῦ φονώδους Ἡρώδου, καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων ρυσθέντος, κατ' ἐντολὴν Ἀγγέλου Κυρίου. Γενομένης ἡμέρας, φησὶ, τάραχος ἦν οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο»; Ἡρώδης δὲ ἐπιζητήσας αὐτὸν καὶ μὴ εὑρὼν, ἀνακρίνας τοὺς φύλακας ἐκέλευσεν ἀπαγχθῆναι (1), δι' οὓς, οὐδεμία αἰτία τῷ Πέτρῳ προσάπτεται. Ἐξῆν γὰρ καὶ αὐτοὺς ἑωρακότας τὸ γινόμενον ἐκφυγεῖν, ὡς καὶ πάντα τὰ παιδία τὰ ἐν Βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, εἰ ἐγνώκεισαν οἱ γονεῖς αὐτῶν τὸ μέλλον ἔσεσθαι, ἅπερ ἀνῃρέθησαν ὑπὸ τοῦ μιαιφόνου Ἡρώδου διὰ τὸ ὑπ' αὐτοῦ ζητούμενον ἀπολέσθαι ἓν παιδίον, ὅπερ καὶ αὐτὸ κατ' ἐντολὴν Ἀγγέλου Κυρίου ἐξέφυγεν, ἤδη ἀρξάμενον ταχέως σκυλεύειν, καὶ ὀξέως προνομεύειν κατὰ τὴν ἐπίκλησιν τοῦ ὀνόματος, καθὼς γέγραπται· «Κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον, ὀξέως προνόμευσον. Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων». [Ἡσα. ή. 3. 4.] Οἱ γοῦν Μάγοι, ὡς ἤδη σκυλευθέντες καὶ προνομευθέντες, ὑποτεταγμένως καὶ τιμητικῶς προσκυνοῦσι τὸ Παιδίον, «ἀνοίγοντες τοὺς θησαυροὺς αὐτῶν, καὶ προσφέροντες αὐτῷ καιριώτατα καὶ πρεπωδέστατα δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν,» [Ματθ. β'. 11. 12]. ὡς Βασιλεῖ καὶ Θεῷ καὶ Ἀνθρώπῳ. Ὅθεν οὐκ ἔτι πρὸς τὸν Ἀσσύριον βασιλέα ἠξίωσαν ὑποστρέψαι, συνεργούμενοι ὑπὸ τῆς προνοίας· «Χρηματισθέντες γὰρ, φησὶ, κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν». [Ματθ. β'. 12]. Ὅθεν ἰδὼν ὁ αἱμοβόρος Ἡρώδης «ὅτι ἐνεπαίχθη ὑπὸ τῶν Μάγων, ἐθυμώθη λίαν, καὶ ἀποστείλας, φησὶν· ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον, ὃν ἠκρίβωσε παρὰ τῶν Μάγων,» [Ματθ. αὐτ. 16.] μεθ' ὧν καὶ τὸ πρὸ αὐτοῦ γεννηθὲν ἕτερον παιδίον ζητήσας ἀποκτεῖναι καὶ μὴ εὑρὼν, τὸν πατέρα αὐτοῦ Ζαχαρίαν ἐφόνευσε «μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου», [Ματθ. κγ'. 35.] ἐκφυγόντος τοῦ παιδὸς μετὰ τῆς μητρὸς Ἐλισάβετ· ἐφ' ὧν οὐδεμίαν μέμψιν ἔχουσιν.

Ἑρμηνεία.

Λέγει διὰ τοῦ Κανόνος τούτου ὁ Ἅγιος ὅτι δὲν ἔχουσιν ἔγκλημα ἐκεῖνοι ὁποῦ ἀφῆκαν ὅλα τὰ ὑπάρχοντά των καὶ ἔφυγαν διὰ νὰ λυτρώσουν τὴν ψυχήν των, ἕως μὴ δυνάμενοι νὰ ὑπομείνουν τὸ μαρτύριον μέχρι τέλους. Ἀλλ' οὐδὲ πρέπει νὰ ἐγκαλοῦνται ἀνίσως, φευγόντων αὐτῶν, ἐπίασαν οἱ διῶκται ἄλλους Χριστιανοὺς δι' αὐτοὺς καὶ τοὺς ἐκακοποίησαν, διατὶ καὶ εἰς τὴν Ἔφεσον, ἀντὶ τοῦ Παύλου, ἐπίασαν Γάϊον καὶ Ἀρίσταρχον τοὺς συντρόφους τοῦ Παύλου, ἀλλ' ὁ Παῦλος διὰ τοῦτο δὲν ἐκατηγορήθη, καὶ μ' ὅλον ὁποῦ ἡ στάσις καὶ ταραχὴ ἔγινε, διατὶ αὐτὸς ἔπεισεν ὄχλον πολὺν καὶ τοὺς ἐπέστρεψεν εἰς τὴν θεογνωσίαν. Καὶ ὅταν δὲ ὁ Ἄγγελος εὔγαλε τὸν Πέτρον ἀπὸ τὴν φυλακὴν, ὁ Ἡρώδης ἐπίασε τοὺς φυλάσσοντας αὐτὸν στρατιώτας καὶ τοὺς ἐπαίδευσεν, ἢ καὶ τοὺς ἐκρέμασεν, ἀλλὰ διὰ τοῦτο δὲν κατηγορεῖται οὔτε ὁ Ἄγγελος, οὔτε ὁ Πέτρος, διατὶ ἠμποροῦσαν καὶ οἱ στρατιῶται νὰ φύγουν βλέποντες πῶς ὁ Πέτρος δὲν ἦτον εἰς τὴν φυλακὴν, ἀμὴ δὲν ἔφυγον. Ἀλλὰ καὶ ὅταν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐγεννήθη, οὗ τὸ ὄνομα ἦτο κατὰ τὴν προφητείαν, Ὀγλίγωρα κούρσευσε τοὺς ὑπὸ τοῦ διαβόλου κουρσευμένους, δηλαδὴ καὶ οἱ Μάγοι ὡς κουρσευθέντες νοητῶς ὑπ' αὐτοῦ, προσεκύνησαν αὐτῷ, προσφέροντες δῶρα, χρυσὸν ὡς Βασιλεῖ, καὶ λίβανον ὡς Θεῷ, καὶ σμύρναν ὡς Ἀνθρώπῳ

(1) Ἐν ἄλλοις, ἀπαχθῆναι.

νεκρῷ, καὶ μὴ ὑποστρέψαντες εἰς τὸν Ἀσσύριον βασιλέα, ἤτοι τὸν Ἡρώδην (1), ἀλλὰ δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν των. Ὅταν, λέγω, ταῦτα πάντα ἠκολούθησαν, καὶ ὁ Κύριος διὰ τοῦ μηνύματος τοῦ Ἀγγέλου ἔφυγεν εἰς Αἴγυπτον, τότε ὁ αἱμοβόρος Ἡρώδης, θυμωθεὶς διατὶ ἐνεπαίχθη ἀπὸ τοὺς Μάγους, ἐθανάτωσεν ὅλα τὰ βρέφη τὰ ἐν Βηθλεὲμ, ἀπὸ δύω χρόνων καὶ κάτω, ἀλλὰ διὰ τοῦτο δὲν κατηγορεῖται ὁ Κύριος. Ζητήσας δὲ καὶ τὸν Πρόδρομον Ἰωάννην ὁ αὐτὸς Ἡρώδης καὶ μὴ εὑρὼν, ἐπειδὴ ἡ μήτηρ του Ἐλισάβετ λαβοῦσα αὐτὸν ἔφυγεν, ἐθανάτωσε τὸν πατέρα του Ζαχαρίαν (2)· ἀλλ' ὅμως, οὔτε ὁ Ἰωάννης, οὔτε ἡ Ἐλισάβετ διὰ τοῦτο κατηγορίας ἄξιοι εἶναι.

ΚΑΝΩΝ ΙΑ'.

Εἰ δέ τινες βίαν πολλὴν καὶ ἀνάγκην πεπόνθασι, χάνον λαβόντες ἐν τῷ στόματι καὶ δεσμοὺς, καὶ ἐπιμείναντες καρτερῶς τῇ διαθέσει τῆς πίστεως, καὶ τὰς χεῖρας αὐτῶν καῆναι καρτερήσαντες, προσαγομένας ἀκοντὶ τῷ ἀνιέρῳ θύματι, ὥσπερ ἔγραψάν μοι οἱ ἀπὸ τῆς φυλακῆς τρισμακάριοι μάρτυρες περὶ τῶν ἐν Λιβύῃ, καὶ ἕτεροι δὲ συλλειτουργοί· οἱ τοιοῦτοι συμμαρτυρούντων αὐτοῖς μάλιστα καὶ τῶν ἄλλων ἀδελφῶν, δύνανται εἶναι ἐν τῇ λειτουργίᾳ, ταχθέντες ἐν τοῖς Ὁμολογηταῖς, ὡς καὶ οἱ κατανεκρωθέντες ἐν ταῖς πολλαῖς βασάνοις, καὶ μηκέτι ἐξισχύσαντες λαλῆσαι ἢ φθέγξασθαι, ἢ κινηθῆναι εἰς τὸ ἀντιστῆναι τοῖς εἰς μάτην βιαζομένοις. Οὐδὲ γὰρ συγκατέθεντο τῇ βδελυρίᾳ αὐτῶν, ὥσπερ οὖν παρὰ συλλειτουργῶν πάλιν ἤκουσα. Ταχθήσεται δὲ ἐν τοῖς Ὁμολογηταῖς καὶ πᾶς ὅστις οὖν κατὰ Τιμόθεον πολιτεύεται, πειθόμενος καὶ αὐτὸς τῷ λέγοντι· «Δίωκε δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονὴν, πραότητα. Ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως, ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς, εἰς ἣν ἐκλήθης, καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων». [ά. Τιμοθ. ϛ'. 11. 12].

Ἑρμηνεία.

Οἱ τοὺς ἁγίους παιδεύοντες Μάρτυρας, ὕστερα ἀπὸ τὰς πολλὰς βασάνους μὲ βίαν μεγάλην ἔβαλλον εἰς τὸ στόμα αὐτῶν, ἢ οἶνον ἀπὸ τὰς σπονδὰς, ἢ κρέας ἀπὸ τὰ εἰδωλόθυτα, ἢ βάλλοντες λιβάνι καὶ κάρβουνα εἰς τὰς χεῖράς των, ἐτράβιζαν αὐτοὺς δεδεμένους εἰς τὸν βωμὸν, ἵνα μὴ ὑποφέροντες τὸν πόνον τῆς καύσεως, ρίψωσι τὸ λιβάνι εἰς τὰ κάρβουνα τοῦ βωμοῦ, καὶ οὕτω φανῶσιν, ὅτι ἐθυσίασαν. Οὗτοι λοιπὸν, διορίζει ὁ παρὼν Κανὼν, ὅτι ἐὰν ἐστάθησαν στερεοὶ εἰς τὴν πίστιν, καὶ ἐπροτίμησαν περισσότερον νὰ καύσουν τὰς χεῖράς των, παρὰ νὰ ρίψουν τὸ λιβάνι εἰς τὸν βωμὸν, ὡς ἐποίησαν οἱ ἐν τῇ Λιβύῃ Μάρτυρες (καὶ ὁ Ἅγιος Μάρτυς Βαρλαὰμ), οὐ μόνον δύνανται νὰ ἔχουν τὴν ἱερωσύνην καὶ τὸν Κλῆρον αὐτῶν, ἀλλὰ καὶ μὲ τοὺς Ὁμολογητὰς συναριθμοῦνται. Οὐ μόνον δὲ οὗτοι, ἀλλὰ ἀκόμη καὶ οἱ διὰ τὰ πολλὰ βάσανα νεκρωθέντες, καὶ μὴ δυνηθέντες νὰ λαλήσουν, ἢ νὰ ἀντισταθοῦν εἰς τοὺς διώκτας, ὁποῦ εἰς τὸ στόμα των ἔβαλον οἶνον, ἢ εἰδωλόθυτον, καὶ αὐτοὶ παρομοίως μετὰ τῶν Ὁμολογητῶν συναριθμοῦνται. Ἐπιφέρει δὲ εἰς τὸ ἑξῆς ὁ Ἅγιος περὶ τοῦ μαρτυρίου τῆς συνειδήσεως λέγων, ὅτι ὅποιος πολιτεύεται καθὼς ἔγραφεν ὁ Παῦλος εἰς τὸν Τιμόθεον, καὶ ἀγαπᾷ δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονὴν καὶ πραότητα, καὶ ἀγωνίζεται τὸν καλὸν ἀγῶνα τῆς πίστεως, καὶ κρατεῖ τὴν ὁμολογίαν, ἣν ὡμολόγησεν ἐπὶ τοῦ ἁγίου βαπτίσματος ἐνώπιον πολλῶν μαρτύρων, καὶ οὗτος μετὰ τῶν Ὁμολογητῶν συναριθμᾶται. Ὅρα καὶ τὸν γ'. τῆς ἐν Ἀγκύρᾳ.

(1) Ἐν τοῖς χρόνοις τῆς γεννήσεως τοῦ Χριστοῦ, ἄλλου ὄντος βασιλέως ἐν τῇ Ἀσσυρίᾳ, τοῦ Ὀδοδὰμ δηλαδὴ, ὡς ὁ Ἰώσηπος ἱστορεῖ βιβλ. ιϛ'. ἀρχαιολογ. Κεφ. ϛ'. καὶ ἄλλου ἐν τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, τοῦ Ἡρώδου δηλ., πῶς ὁ Ἅγιος ἐνταῦθα λέγει, ὅτι οἱ Μάγοι δὲν ὑπέστρεψαν εἰς τὸν Ἀσσύριον Βασιλέα τὸν Ἡρώδην; ἢ ἴσως Ἀσσύριον ὀνομάζει τὸν Ἡρώδην, κατὰ τὴν κακίαν καὶ φονικὴν προαίρεσιν, ὃν τρόπον καὶ ὁ Ἡσαΐας Ἀσσύριον νοῦν διὰ τὴν κακίαν ὠνόμασε τὸν διάβολον.

(2) Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ εἰς τὴν Χριστοῦ γέννησιν λόγῳ φησὶν, ὅτι ἐκ παραδόσεως ἀρχαίας λόγος ἐστὶ, πῶς ὁ Ζαχαρίας γνωρίζων τὴν Κυρίαν Θεοτόκον, ὅτι παρθένος ἐγέννησεν, ἔβαλε ταύτην καὶ μετὰ τὸ γεννῆσαι τὸν Κύριον εἰς τὸν τόπον τῶν παρθένων. Οἱ δὲ Ἰουδαῖοι, κατηγορήσαντες αὐτὸν, πῶς μὲ τοῦτο ὁποῦ κάμνει, κατασκευάζει τὸ παράδοξον ἐκεῖνο, τὸ νὰ γεννήσῃ παρθένος καὶ νὰ μὴ φθείρῃ τὴν παρθενίαν. ἐφόνευσαν αὐτόν. Ἀλλὰ δυνατὸν εἶναι νὰ ἠκολούθησαν καὶ τὰ δύω, καὶ τότε μὲν, ὅτε εἰσήγαγε τὴν παρθένον, νὰ ἔδωκε φόνου αἰτίαν εἰς τοὺς Ἰουδαίους ὁ Ζαχαρίας, καθὼς λέγει ὁ Βασίλειος, ὕστερον δὲ διὰ τὴν ζήτησιν τοῦ παιδὸς του νὰ ἐφονεύθη ἀληθῶς ἀπὸ τὸν Ἡρώδην, καθὼς λέγει ὁ θεῖος Πέτρος. Περιεργείας χάριν καὶ τοῦτο προστεθήτω, ὅτι ἐν τοῖς χρόνοις τοῦ νέου Θεοδοσίου εὑρέθη τὸ λείψανον τοῦ προφήτου τούτου Ζαχαρίου, εἰς τὸ χωρίον Κοφὰρ τῆς Ἐλευθερουπόλεως τῆς ἐν Παλαιστίνῃ, ὑπό τινος ἀνθρώπου Καλημέρου ὀνομαζομένου, καὶ ἐφόρει ἐν λευκὸν ἔνδυμα, χρυσῆν Μίτραν εἰς τὴν κεφαλὴν, καὶ εἰς τοὺς πόδας σανδάλια χρυσοΰφαντα, καθὼς εὑρίσκετο εἰς τὸ θυσιαστήριον. (Οὗτος δὲ δὲν εἶναι ὁ υἱὸς τοῦ Ἰωδαὲ, καθὼς λέγουσί τινες, τὸν ὁποῖον ἐθανάτωσεν Ἰωὰς ὁ βασιλεὺς, ἐν τῇ αὐλῇ οἴκου Κυρίου· διότι ἐκεῖνος Ἀζαρίας, καὶ ὄχι Ζαχαρίας ἐκαλεῖτο, κατὰ τὸ κδ'. τῆς β'. τῶν Παραλειπομ. (Δοσίθ. 267. τῆς Δωδεκαβ.). Τώρα δὲ εὑρίσκεται τὸ λείψανόν του εἰς τὴν Ἰταλίαν, καθὼς λέγει ὁ Ἱεροσολ. Νεκτάριος σελ. 192. τῆς περὶ τῆς ἀρχῆς τοῦ Πάπα ἀντιρρήσεως. Ὁ δὲ Γεώργ. ὁ Κεδρινὸς διηγεῖται ὅτι, ἡ Ἐλισάβετ, μετὰ τεσσαράκοντα ἡμέρας τοῦ φόνου τοῦ ἀνδρὸς αὐτῆς Ζαχαρίου, ἀπέθανε μέσα εἰς τὸ σπήλαιον, ὅπου ἦν κεκρυμμένη μὲ τὸ παιδίον της τὸν Ἰωάννην, Ἄγγελος δὲ Κυρίου ἐφρόντιζε τῆς ὀρφανίας καὶ ἀνατροφῆς τοῦ παιδίου εἰς τὴν ἔρημον. (Δοσίθ. βιβλ. ά. Κεφ. Β'. ἐν τῇ Δωδεκαβίβλῳ).

«Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὸ Πάσχα λόγου»

ΚΑΝΩΝ ΙΕ'.

Οὐκ ἐγκαλέσει τις ἡμῖν παρατηρουμένοις Τετράδα καὶ Παρασκευὴν, ἐν αἷς καὶ νηστεύειν ἡμῖν κατὰ παράδοσιν εὐλόγως προστέτακται. Τὴν μὲν γὰρ Τετράδα διὰ τὸ γινόμενον συμβούλιον ὑπὸ τῶν Ἰουδαίων ἐπὶ τῇ προδοσίᾳ τοῦ Κυρίου· τὴν δὲ Παρασκευὴν, διὰ τὸ πεπονθέναι αὐτὸν ὑπὲρ ὑμῶν· τὴν δὲ Κυριακὴν (1) χαρμοσύνης ἡμέραν ἄγομεν, διὰ τὸν ἀναστάντα ἐν αὐτῇ, ἐν ᾗ οὐδὲ γόνυ κλίνειν παρειλήφαμεν.

Ἑρμηνεία.

Διορίζει ὁ παρὼν Κανὼν, ὅτι δὲν θέλει κατηγορήσει τινὰς ἡμᾶς τοὺς ὀρθοδόξους, διατὶ κατὰ παράδοσιν, Ἀποστολικὴν δηλαδὴ, νηστεύομεν παντοτινὰ ὅλας τὰς Τετράδας καὶ Παρασκευάς. Κάθε μὲν γὰρ Τετράδα νηστεύομεν, διατὶ κατ' αὐτὴν τὴν ἡμέραν ἔγινε τὸ συμβούλιον ἀπὸ τοὺς Ἰουδαίους διὰ τὴν προδοσίαν τοῦ Κυρίου· κάθε δὲ Παρασκευὴν, διατὶ ὑπὲρ ἡμῶν ὁ Κύριος ἔπαθε· τὴν δὲ Κυριακὴν ἡμέραν ἔχομεν ἑορτῆς καὶ χαρᾶς, διατὶ εἰς αὐτὴν ἀνέστη ὁ Κύριος ἀπὸ τοὺς νεκροὺς, κατὰ τὴν ὁποίαν παρελάβομεν οὐδὲ γόνυ νὰ κλίνωμεν. Ἀνάγνωθι καὶ τὸν ξδ'. Ἀποστολικὸν, καὶ τὸν κ'. τῆς ά.

ΠΕΡΙ ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΘΑΝΑΣΙΟΥ

ΠΡΟΛΕΓΟΜΕΝΑ

Ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν Ἀθανάσιος ἤκμασεν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου (2). Διάκονος γὰρ ὢν, εὑρέθη παρὼν εἰς τὴν ά. Οἰκουμενικὴν Σύνοδον ἐν ἔτει 325, ὁμοῦ μὲ τὸν Ἀλεξανδρείας Ἀλέξανδρον (3), καὶ ἐν ἔτει 326 (4) Ἀλεξανδρείας κατέστη Ἐπίσκοπος (5)· ἐπειδὴ δὲ δὲν ἠθέλησε νὰ συγκοινωνήσῃ μὲ τὸν Ἄρειον (καὶ μὲ ὅλον ὁποῦ ἐπρόσταξε τοῦτο ὁ βασιλεὺς Κωνσταντῖνος, νομίσας ὅτι ὁ Ἄρειος ἐδέχθη τὸν ὅρον τῆς ἐν Νικαίᾳ Συνόδου), ἐκ τῆς αἰτίας ταύτης ἐκίνησαν κατ' αὐτοῦ, οἱ περὶ τὸν Νικομηδείας Εὐσέβιον, τὰς δεινὰς κατηγορίας καὶ διαβολὰς (6), καὶ ἐν μὲν τῷ 335 ἔτει καθαιρεῖται ἀπὸ τὸ ἐν Τύρῳ ληστρικὸν συνέδριον (7) εἰς δὲ τὸ ἀκόλουθον ἔτος (8) ἐξορίζεται εἰς Τρίβεριν τῆς Γαλλίας, μὲ τὸ νὰ διέβαλον αὐτὸν οἱ Ἀρειανοὶ πρὸς τὸν Βασιλέα, ὅτι δὲν ἀφίνει νὰ πηγαίνῃ ἀπὸ τὴν Ἀλεξάνδρειαν εἰς Κωνσταντινούπολιν τὸ διωρισμένον σιτάρι (9)· μετὰ δὲ δεκαοκτὼ μῆνας (10), ἀποθανόντος τοῦ μεγάλου Κωνσταντίνου, ἐπανέρχεται εἰς τὴν Ἀλεξάνδρειαν διὰ προσταγῆς τοῦ Κωνσταντίνου τοῦ γ'. καὶ νεωτέρου υἱοῦ τοῦ Κωνσταντίνου, ἐν ἔτει 332 (11)· ἐν ἔτει δὲ 341 καθαιρεῖται ἀπὸ τὴν ἐν Ἀντιοχείᾳ Σύνοδον (12)· ἀνελθὼν δὲ εἰς Ρωμὴν καὶ καθαρὸς ἀποδειχθεὶς ἀπὸ τὰ ἐγκλήματα, διὰ τὰ ὁποῖα ἐκατηγορεῖτο, τόσον ἀπὸ τὴν ἐν Ρώμῃ γενομένην Σύνοδον ἐν ἔτει 342, ὅσον καὶ ἀπὸ τὴν κατὰ τὴν Σαρδικὴν ἐν ἔτει 347, ἀνακαλεῖται πάλιν εἰς τὸν θρόνον αὐτοῦ ὑπὸ τοῦ Αὐτοκράτορος Κωνσταντίνου, διὰ μεσιτείας καὶ ἀπειλῆς Κώνσταντος τοῦ ἀδελφοῦ του (13)· μετὰ δὲ ἑξ χρόνους κατακρίνεται ἀπὸ τὰ συνέδρια ὁποῦ ἔγιναν, ἐν μὲν τῷ Ἀρελάτῳ κατὰ τὸ 353, ἐν Μεδιολάνοις δὲ κατὰ τὸ 357 (14) καὶ εἰς τὴν ἔρημον τῆς Θηβαΐδος ὑποχωρεῖ (15), καὶ ἐκεῖ ἔμεινεν ἕως τέλους τοῦ Κωνσταντίου. Βασιλεύσαντος δὲ τοῦ παραβάτου Ἰουλιανοῦ, ἀνεκαλέσθη εἰς τὸν θρόνον του, καὶ τὴν περὶ τῆς οὐσίας καὶ ὑποστάσεως ποιήσας Σύνοδον, ἥνωσε τοὺς Δυτικοὺς μὲ τοὺς Ἀνατολικοὺς (16). Ἐν δὲ τῷ 362 (17) ἐξορίζεται ἀπὸ τὴν Ἀλεξάνδρειαν προσταγῇ τοῦ Ἀποστάτου, εἰπὼν εἰς τοὺς δι' αὐτὸν κλαίοντας χριστιανοὺς «θαρσεῖτε, νεφύδριόν ἐστι καὶ θᾶττον

(1) Ἤ, ἄλλως, τὴν γὰρ Κυριακήν.

(2) Σημείωσαι ὅτι, ὄχι μόνον ὁ Ρουφῖνος ἱστόρησεν ἐκεῖνο ὁποῦ λέγεται νὰ ἔκαμεν ὁ μέγας Ἀθανάσιος, μικρὸν παιδίον ὤν, τὸ νὰ βαπτίσῃ δηλ. τὰ ἀβάπτιστα συνομήλικά του παιδία, ἀλλὰ ἀναφέρει αὐτὸ καὶ ὁ Σωκράτης, βιβλ. ά. Κεφ. ις'.

(3) Ὁ Σωζόμενος βιβλ. ά. Κεφ. 17.

(4) Ὁ Κάθ. ἐν τόμ. ά. σελ. 190.

(5) Ὁ Σωκράτης, βιβλ. ά. Κεφ. 15. καὶ Σωζόμ. βιβλ. 6'. Κεφ. 12.

(6) Ὁ αὐτὸς αὐτόθι, καὶ Σωζόμ. βιβλ. 6'. Κεφ. 22.

(7) Ὁ Σωκράτης αὐτόθι Κεφ. 32.

(8) Ὁ Κάθ. αὐτόθι.

(9) Ὁ Σωκράτης αὐτόθι Κεφ. 35.

(10) Ὁ Κάθ. αὐτόθι.

(11) Νικηφόρος ὁ Κάλλιστος βιβλ. θ'. Κεφ. 3.

(12) Ὅρα τὴν ὑποσημείωσιν τοῦ δ'. Κανόνος τῆς ἐν Ἀντιοχείᾳ.

(13) Ὅρα τὰ προλεγόμενα τῆς ἐν Σαρδικῇ, καὶ ὁ Σωκράτης αὐτόθι Κεφ. 22. καὶ Κεφ. 23.

(14) Ὅρα τὴν 589. σελ. τοῦ ι'. τόμου τῶν Συνοδικῶν τῆς τοῦ Βινίου ἐκδόσεως.

(15) Ὁ Ναζιαν. εἰς τὸ ἐγκώμιον τοῦ Ἀθανασίου.

(16) Ὁ Σωζόμενος βιβλ. έ. Κεφ. 12, καὶ ὁ Ναζιανζ. καὶ τὴν ὑποσημείωσιν τῆς παρούσης Β'. Ἐπιστολῆς.

(17) Ὁ Κάθ. αὐτόθι.

παρελεύσεται» (1)· ἐν δὲ τῷ 363 ἐλθὼν εἰς Ἀντιόχειαν, τὸν Ἰοβιανὸν ἐδίδαξε τὰ τῆς ὀρθοδόξου πίστεως δόγματα (2)· ἐπὶ δὲ τοῦ Οὐάλεντος διωχθεὶς, κρυφίως εἰς ἕνα μνῆμα πατρικὸν ἐκρύβη (3)· μετ' ὀλίγον δὲ καλεσθεὶς ἀπὸ τὸν ἴδιον Οὐάλεντα, καὶ ἐν εἰρήνῃ ζήσας ἕως εἰς τὸ 371 ἢ 373 (4) τῷ Θεῷ τὸ πνεῦμα παρέθετο, τεσσαρακοντάετ' ἔτη ἐπισκοπεύσας μετὰ πολλῶν καὶ μεγάλων κινδύνων ὁ ἀδαμάντινος (5). Κοντὰ δὲ εἰς τὰ ἄλλα του συγγράμματα, τὰ ὁποῖα εἰς τρεῖς τόμους συντάττονται, ἐν Παρισίοις ἐκδεδομένα κατὰ τὸ 1698 ἔτος, καὶ τὰς κανονικὰς ταύτας τρεῖς Ἐπιστολὰς ἀφῆκεν εἰς ἡμᾶς, ἀναγκαίας οὔσας εἰς τὴν τῆς Ἐκκλησίας εὐταξίαν καὶ κατάστασιν, αἵτινες ἐπικυροῦνται, ἀορίστως μὲν ἀπὸ τὸν ά. τῆς δ'. καὶ τὸν ά. τῆς ζ'. ὡρισμένως δὲ ἀπὸ τὸν β'. τῆς Οἰκουμεν. Γ'. καὶ διὰ τῆς ἐπικυρώσεως ταύτης Οἰκουμενικὴν τρόπον τινὰ ἀναλαμβάνουσι δύναμιν. Εὑρίσκονται δὲ ἐν τῷ β'. τόμῳ τῶν Πανδεκτων, καὶ σελ. 333 τοῦ ά τόμου τῶν Συνοδικῶν (6).

Α'. Ἐπιστολὴ τοῦ Ἁγίου Ἀθανασίου τοῦ μεγάλου, πρὸς Ἀμοῦν μονάζοντα.

Πάντα μὲν καλὰ καὶ καθαρὰ τὰ τοῦ Θεοῦ ποιήματα, οὐδὲν γὰρ ἄχρηστον ἢ ἀκάθαρτον ὁ τοῦ Θεοῦ πεποίηκε λόγος. «Χριστοῦ γὰρ εὐωδία ἐσμὲν ἐν τοῖς σῳζομένοις, κατὰ τὸν Ἀπόστολον» [β'. Κορ. β'. 15.] Ἐπειδὴ δὲ ποικίλα καὶ πολύτροπα τὰ τοῦ διαβόλου βέλη, καὶ τοὺς ἀκεραιοτέρους τὴν γνώμην παρασκευάζει ταράττεσθαι, κωλύει τε τῆς συνήθους γυμνασίας τοὺς ἀδελφοὺς, ὑποσπείρων αὐτοῖς λογισμοὺς ἀκαθαρσίας καὶ μολυσμοῦ, φέρε διὰ βραχέων καὶ τὴν τοῦ πονηροῦ πλάνην ἀπελάσωμεν, τῇ τοῦ Σωτῆρος ἡμῶν χάριτι, καὶ τὴν τῶν ἁπλουστέρων γνώμην στηρίξωμεν. «Πάντα μὲν καθαρὰ τοῖς καθαροῖς,» [Γιτ. ά. 15.]· τῶν δὲ ἀκαθάρτων καὶ ἡ συνείδησις καὶ τὰ πάντα μεμόλυνται. Ἄγαμαι δὲ τοῦ διαβόλου τὸ σόφισμα, ὅτι περιφθορὰ καὶ λύμη ὑπάρχων, λογισμοὺς ὑποβάλλει τῷ δοκεῖν μὲν καθαρότητος, ἔστι δὲ τὸ γινόμενον ἔνεδρα μᾶλλον ἢ δοκιμασία. Ἵνα γὰρ, ὡς προεῖπον, ἀπασχολήσῃ τοὺς ἀσκητὰς τῆς ἐθίμου καὶ σωτηριώδους μελέτης, καὶ δόξῃ κρατεῖν κατὰ τοῦτο τοιαῦτά τινα κινεῖ βομβύκια, ἅτινα φέρει μὲν οὐδὲν τῷ βίῳ χρήσιμον, κενὰς δὲ ζητήσεις καὶ φλυαρίας, ἃς δεῖ παραιτεῖσθαι.— Τί γὰρ, εἰπέ μοι, ὦ ἀγαπητὲ καὶ εὐλαβέστατε, ἔχει ἁμάρτημα ἢ ἀκάθαρτον φυσική τις ἔκκρισις ; ὡς εἴ τις ἐθέλοι ποιεῖσθαι ἔγκλημα, καὶ τὰς διὰ ῥινῶν ἐκπιμπομένας μύξας, καὶ τὰ διὰ στόματος πτύσματα. Ἔτι δὲ καὶ τούτων ἔχομεν λέγειν πλείονα, τὰς διὰ γαστέρων ἐκκρίσεις, ἅτερ τῷ ζώῳ πρὸς τὸ ζῆν ἀναγκαῖα καθέστηκεν. Ἔτι τε εἰ τῶν τοῦ Θεοῦ χειρῶν ἔργον πιστεύομεν εἶναι τὸν ἄνθρωπον, κατὰ τὰς θείας Γραφὰς, πῶς ἠδύνατο ἐκ καθαρᾶς δυνάμεως ἔργον τι γίνεσθαι μεμολυσμένον ; Καὶ εἰ γένος τοῦ Θεοῦ ὑπάρχομεν, [Πράξ. ιζ'. 28, 29.] κατὰ τὰς θείας τῶν Ἀποστόλων Πράξεις, οὐδὲν ἔχομεν ἐν ἐκυτοῖς ἀκάθαρτον. Τότε γὰρ μόνον μεμολύσμεθα, ὅτε τὴν δυσωδεστάτην ἁμαρτίαν ἐργαζόμεθα. Ὅτε δὲ φυσική τις ἀβουλήτως ἔκκρισις γίνεται, τότε τῇ τῆς φύσεως ἀνάγκῃ μετὰ τῶν ἄλλων, ὡς προεῖπομεν, καὶ τοῦτο ὑπομένομεν.—Ἀλλ' ἐπειδὴ περ οἱ θέλοντες ἀντιλέγειν μόνον τοῖς ὀρθῶς λεγομένοις, μᾶλλον δὲ παρὰ Θεοῦ πεποιημένοις, παραφέρουσι καὶ ῥητὸν Εὐαγγελικὸν, ὡς ὅτι, «οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα.» [Ματθ. ιέ. 11]. Ἀναγκαίως αὐτῶν καὶ ταύτην τὴν ἀλογίαν (οὐ γὰρ ἂν εἴπωμεν ζήτησιν) ἐλέγξωμεν. Πρῶτον μὲν γὰρ καὶ τὰς Γραφὰς κατὰ τὰς ἰδίας ἀμαθείας ἀστήρικτοι ὄντες, βιάζονται. Ἔχει δὲ τὸ θεῖον οὕτω λόγιον. Τινῶν γὰρ πάλιν τούτοις ὁμοίως ἐνδυκστῶς ἐχόντων περὶ βρωμάτων, αὐτὸς ὁ Κύριος λύων αὐτῶν τὴν ἄγνοιαν, ἤγουν τὴν ἀπάτην δημοσιεύων, φησὶ, μὴ τὰ εἰσερχόμενα κοινοῦν τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα. Εἶτα ἐπάγει καὶ πόθεν ἐξερχόμενα, τὰ ἀπὸ τῆς καρδίας. Ἐκεῖ γὰρ εἶναι τοὺς πονηροὺς θησαυροὺς τῶν βεβήλων λογισμῶν καὶ τῶν ἄλλων ἁμαρτημάτων γινώσκει. Συντομώτερον δὲ ὁ Ἀπόστολος αὐτὸ δεδιδαγμένος (7) φησί· «βρῶμα ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ». [ά. Κορινθ. ή. 8.] Φαίη δ' ἄν τις καὶ νῦν εὐλόγως φυσική τις ἔκκρισις ἡμᾶς οὐ παραστήσει πρὸς τιμωρίαν. Τάχα δὲ καὶ παῖδες ἰατρῶν (ἵνα κἂν ἐκ τῶν ἔξωθεν δυσωπηθῶσιν) ὑπὲρ τούτου ἀπολογήσονται, ὅτι τῷ ζώῳ δέδονταί τινες ἀναγκαῖαι διέξοδοι, πρὸς τὸ τῶν ἐν ἡμῖν ἑκάστῳ μελῶν τρεφομένων χυμῶν τὸ περιττὸν ἀποπέμπειν. Οἷον κεφαλῆς περιττώματα τρίχες, καὶ τὰ ἀπὸ κεφαλῆς ὑδατώδη πεμπόμενα, καὶ γαστρὸς διαχωρήματα, καὶ τοίνυν τῶν σπερματικῶν πόρων ἐκεῖνο περίττωμα. Ποῖα τοίνυν ἐστὶ πρὸς Θεὸν (8), ὦ πρεσβῦτα θεοφιλέστατε, ἁμαρτία αὐτοῦ τοῦ πλάσαντος τὸ ζῶον Δεσπότου, θελήσαντος καὶ ποιήσαντος ταῦτα τὰ μέλη τοιαῦτας ἔχειν διεξόδους ;—Ἐπειδὴ δὲ δεῖ προλαμβάνειν τὰ τῶν πονηρῶν ἐναντιώματα (εἴποιεν γὰρ ἄν, οὐκοῦν οὐκ ἔστιν ἁμαρτία οὔτε ἡ ἀληθὴς χρῆσις, εἰ τὰ ὄργανα παρὰ τοῦ Δημιουργοῦ διαπέπλαται), πρὸς τοῦτο ἐρωτηματικῶς αὐτοὺς παύσομεν φάσκοντες. Ποίαν λέγεις χρῆσιν ; Τὴν ἐν Νόμῳ, ἣν ὁ Θεὸς ἐπέτρεψε λέγων· «Αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν» ; [Γεν. α'. 28.] ἣν ὁ Ἀπόστολος ἀπε-

(1) Ὁ Σωζόμενος Κεφ. ιέ.
(2) Ὁ αὐτὸς ἐν βιβλ. ς'. Κεφ. 5.
(3) Ὁ αὐτὸς αὐτόθι Κεφ. 12.
(4) Ὁ Κάδ. αὐτόθι.
(5) Ὁ Σωκράτης βιβλ. δ'. Κεφ. 2.
(6) Τὸν Ἀθανάσιον, ὁ μὲν Ἰουστινιανὸς (ἐπιστολ. πρὸς τὴν έ. Σύνοδ.) Μέγαν τῆς Ἐκκλησίας διδάσκαλον ὀνομάζει, ὁ δὲ Βασίλειος (ἐπιστολ. πρὸς Ἀθανάσ.) κεφαλὴν ἐρρωμένην, παντὶ τῷ σώματι τὴν ὑγείαν ἐπιχορηγοῦσαν. Καὶ πάλιν λέγει (ἐπιστολ. πρὸς τοὺς ἐν τῇ Δύσει ἀδελφ.). Ὁ τιμιώτατος Πατὴρ ἡμῶν Ἀθανάσιος. Ὁ Ἀλεξανδρείας Κύριλλος (ἐπιστολ. πρὸς Ἰωάν. Ἀντιοχ.) ἀκριβῆ τῆς καθολικῆς Ἐκκλησίας καὶ πίστεως Ἔκδικον τοῦτον καλεῖ. Ὁ Χρυσόστ. Ἀποστολικὸν τοῦτον λέγει. Παῦλος Ἐμέσης (ἐν τῇ ὁμιλίᾳ, ἣν ἐποίησεν ἐν Ἀλεξανδρείᾳ παρόντος τοῦ Κυρίλ.) Στύλον καλεῖ ὀρθοδοξίας. Καὶ ἡ ζ'. Σύνοδος (πράξει ά) Πένταθλον τῆς Ἐκκλησίας αὐτὸν ὀνομάζει.
(7) Ἐν ἄλλοις, ἀποδεδειγμένως φησί.
(8) Ἴσως, πρὸς Θεοῦ.

δέξατο εἰπών· «Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος»; [Ἑβρ. ιγ΄. 4.] ἢ τὴν δημώδη μέν, λαθραίως δὲ καὶ μοιχικῶς ἐπιτελουμένην; ἐπεὶ καὶ τῶν ἄλλων, τῶν ἐν τῷ βίῳ γινομένων, εὑρήσομεν τὰς διαφορὰς κατά τι γενομένας· οἷον, φονεύειν οὐκ ἔξεστιν, ἀλλ' ἐν πολέμῳ ἀναιρεῖν τοὺς ἀντιπάλους καὶ ἔννομον καὶ ἐπαίνου ἄξιον. Οὕτω γοῦν καὶ τιμῶν μεγάλων οἱ κατὰ πόλεμον ἀριστεύσαντες ἀξιοῦνται, καὶ στῆλαι τούτων ἐγείρονται, κηρύττουσαι τὰ κατορθώματα. Ὥστε τὸ αὐτό, κατά τι μὲν καὶ κατὰ καιρὸν οὐκ ἔξεστι, κατά τι δὲ καὶ εὐκαίρως, ἀφίεταί τε καὶ συγχεχώρηται. Ὁ αὐτὸς οὖν καὶ περὶ τῆς μίξεως λόγος. Μακάριος ὃς ἐν νεότητι ζυγὸν ἔχων ἐλεύθερον, τῇ φύσει πρὸς παιδοποιΐαν κέχρηται· εἰ δὲ πρὸς ἀσέλγειαν, πόρνους καὶ μοιχούς, [Ἑβρ. ιγ΄. 4.] ἡ παρὰ τῷ Ἀποστόλῳ τιμωρία ἐκδέξεται. Δύω γὰρ οὐσῶν ὁδῶν ἐν τῷ βίῳ περὶ τούτων, μιᾶς μὲν μετριωτέρας καὶ βιωτικῆς, τοῦ γάμου λέγω, τῆς δὲ ἑτέρας ἀγγελικῆς καὶ ἀνυπερβλήτου, τῆς παρθενίας, εἰ μέν τις τὴν κοσμικὴν, τοῦτ' ἔστι τὸν γάμον ἕλοιτο, μέμψιν μὲν οὐκ ἔχει, τοσαῦτα δὲ χαρίσματα οὐ λήψεται. Λήψεται γὰρ, ἐπείπερ φέρει καὶ αὐτὸς καρπὸν τὸν τριάκοντα. Εἰ δὲ τὴν ἀγνὴν τις καὶ ὑπερκόσμιον ἀσπάσοιτο, εἰ καὶ τραχεῖα παρὰ τὴν πρώτην καὶ δυσκατόρθωτος ἡ ὁδὸς, ὅμως ἔχει χαρίσματα θαυμασιώτερα· τὸν γὰρ τέλειον καρπὸν, τὴν ἑκατοντάδα ἐβλάστησεν. Ὥστε τὰ ἀκάθαρτα αὐτῶν καὶ πονηρὰ ζητήματα λύσεις ἰδίας ἔσχηκε καὶ παρὰ τῶν θείων Γραφῶν πάλαι προλυθείσας.—Ὑποστήριζε τοίνυν, ὦ Πάτερ, τὰς ὑπὸ σαυτὸν ἀγέλας, ἐκ τῶν Ἀποστολικῶν παρακαλῶν, ἐκ τῶν Εὐαγγελικῶν ψυχαγωγῶν, ἐκ τῶν Ψαλμῶν συμβουλεύων. Ζῆσόν με, λέγων, κατὰ τὸ λόγιόν σου, [Ψαλμ. ριή. 7.] λόγιον δὲ αὐτοῦ τὸ ἐκ καθαρᾶς λατρεύειν αὐτῷ καρδίας. Τοῦτο γὰρ εἰδὼς ὁ αὐτὸς Προφήτης, ὥσπερ ἑαυτὸν μεταφράζων, λέγει· «Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς», [Ψαλ. ν΄. 11.], ἵνα μὴ ρυπώδεις λογισμοὶ μὲ ταράξωσι. Καὶ πάλιν Δαβίδ· «Καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με,» [Ψαλμ. ν΄. 13.] ἵνα κἂν ποτε διαλογισμοί με θορυβήσωσιν, ἰσχυρά τις δύναμις παρὰ σοῦ στηρίζῃ με, ὥσπερ κρηπὶς τυγχάνουσα. Αὐτὸς τοίνυν ταῦτα καὶ τὰ τοιαῦτα συμβουλεύων, λέγε πρὸς τοὺς βράδιον τῇ ἀληθείᾳ πειθομένους· «Διδάξω ἀνόμους τὰς ὁδούς σου» [Ψαλμ. ν΄. 14.], καὶ θαρρῶν Κυρίῳ ὅτι πείσεις ἀποσχέσθαι τῆς τοιαύτης κακίας, ψάλλε· «Καὶ οἱ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι». Γένοιτο δὲ, τοὺς μὲν κακοήθως ζητοῦντας, παύσασθαι τῆς τοιαύτης ματαιοπονίας, τοὺς δὲ διὰ εὐσέβειαν ἐνδοιαστῶς ἔχοντας, Πνεύματι ἡγεμονικῷ κρατυνθῆναι. Ὅσοι δὲ βεβαίως τὴν ἀλήθειαν ἐπίστασθε, ἀρραγῆ ταύτην κατέχετε καὶ ἀσάλευτον ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ δόξα καὶ κράτος, σὺν ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ἑρμηνεία.

Ἐπειδὴ ὁ μέγας οὗτος Πατὴρ ἡμῶν ἠρωτήθη, καθὼς φαίνεται, διὰ τὴν ἀπὸ τῆς φύσεως ἐγγινομένην ἡμῖν καθ' ὕπνον ἔκκρισιν, εἴτε ἐνυπνιασμὸν κοινότερον λεγομένην, ἂν ἦναι ἐφάμαρτος, ἔκαμε τὴν παροῦσαν ἀποκριτικὴν ἐπιστολὴν, διὰ τῆς ὁποίας λέγει, ὅτι ὅλα τὰ ποιήματα τοῦ Θεοῦ εἶναι καθαρὰ, καὶ κἀνένα ἀκάθαρτον, ἢ μεμολυσμένον δὲν ἐποίησεν ὁ Θεός. Ἀμὴ, ἐπειδὴ καὶ τοῦ Διαβόλου ἡ μηχαναῖς εἶναι πολλαῖς καὶ διάφοραις, μὲ τὰς ὁποίας ἔχει συνήθειαν νὰ συγχίζῃ, καὶ νὰ ἐνοχλῇ τοὺς ἁπλοῦς δούλους τοῦ Θεοῦ, ἤτοι τοὺς ἀσκητὰς, καὶ νὰ τοὺς ἐμποδίζῃ ἀπὸ τὴν συνηθισμένην ἀρετήν τους, μὲ τὸ νὰ σπέρνῃ λογισμοὺς ἀκαθάρτους εἰς τὴν φαντασίαν τους, πρέπει ἡμεῖς νὰ ἐξορίσωμεν αὐτὴν τὴν μηχανὴν τοῦ Διαβόλου μὲ τὴν βοήθειαν τοῦ Χριστοῦ, καὶ νὰ στερεώσωμεν καὶ τὴν γνώμην τῶν ἀπονηρεύτων ἀδελφῶν μας, διὰ νὰ μὴν ἐνοχλοῦνται πλέον. Ἄρχεται δὲ ἀπὸ τὸ ρητὸν τοῦ μακαρίου Παύλου, καὶ λέγει· Ὅλα τὰ ποιήματα τοῦ Θεοῦ εἶναι καθαρὰ εἰς τοὺς καθαροὺς, καὶ ἐναρέτους. Εἰς δὲ τοὺς ἀκαθάρτους καὶ ἁμαρτωλοὺς φαίνονται ὅλα ἀκάθαρτα καὶ μεμολυσμένα, διὰ τὴν μεμολυσμένην καὶ ἀκάθαρτον συνείδησίν τους. Θαυμάζει δὲ ὁ ἅγιος τὴν πονηρίαν τοῦ Διαβόλου, πῶς αὐτὸς ἀκάθαρτος ὢν, σπείρει εἰς ἡμᾶς λογισμοὺς καθαροὺς μὲν, κατὰ τὸ φαινόμενον, τῇ δὲ ἀληθείᾳ ὄντας δοκιμαῖς τούτου καὶ κρυφὰ μηχανήματα, (1) διὰ νὰ ἐμποδίσῃ, καθὼς εἴπομεν, τοὺς ἀδελφοὺς ἀπὸ τὴν σωτηριώδη μελέτην, καὶ νὰ φανῇ, ὅτι ἐνίκησεν αὐτοὺς, μὲ κάποια βομβύκια, ἤτοι μὲ κάποιους κρότους, καὶ φόβους οὐτιδανοὺς τῶν ζωΐφιων τῶν καλουμένων Μπουμπούρων, οἱ ὁποῖοι δὲν προξενοῦσιν ἄλλο εἰς τὴν ζωήν μας, πάρεξ λογοτριβὰς καὶ συζητήσεις ματαίας, τὰς ὁποίας μᾶς λέγει νὰ μισῶμεν ὁ Θεῖος Παῦλος. Ἔπειτα ἐρωτᾷ τὸν ὅτιον λέγων, ποίαν ἁμαρτίαν, ἢ ἀκαθαρσίαν ἔχει ἡ φυσικὴ ἔκκρισις, ὁποῦ συμβαίνει ἐν τοῖς ὕπνοις, καὶ εὐγκίνει ὡσὰν ἕνα περίττωμα; (2) πάρεξ ἀνίσως θελήσῃ τινὰς νὰ κατηγορήσῃ καὶ ὅλον τὸ σῶμα τοῦ ἀνθρώπου διὰ τὰς

(1) Ἢ καὶ οὕτως ἑρμηνεύεται. Οἱ λογισμοὶ οὗτοι ὁποῦ ὑποβάλλει ὁ διάβολος, εἶναι περισσότερον ἔνεδρα καὶ μηχανὴ, πάρεξ μία ψιλὴ δοκιμή.

(2) Ἐναντιοφανεία ἀνακύπτει μεταξὺ τοῦ μεγάλου Ἀθανασίου καὶ τοῦ οὐρανοφάντορος Βασιλείου· ὁ μὲν γὰρ ἐνταῦθα ἀποφαίνεται, ὅτι ἡ ἐν τοῖς ὕπνοις συμβαίνουσα φυσικὴ ἔκκρισις δὲν εἶναι ἁμαρτία, ὁ δὲ Βασιλ. ἐν τοῖς κατ' ἐπιτομὴν ὅροις τθ΄. τὴν θέλει ἐφάμαρτον ἀκαθαρσίαν. Ὅμως καὶ οἱ δύω λέγουσιν ὀρθὰ καὶ ἀλλήλοις σύμφωνα. Ὁ μὲν γὰρ Ἀθανάσιος λέγει διὰ τὴν ρεῦσιν ἐκείνην ὁποῦ προέρχεται χωρὶς νὰ γνωρίζῃ κάμμίαν ἄλλην αἰτίαν, ἤγουν ἡ πολυφαγίαν καὶ πολυποσίαν καὶ πολυϋπνίαν καὶ ἀνάπαυσιν, ἢ προηγησαμένην τινὸς προσώπου ἡδονικὴν καὶ ἐμπαθῆ ἐπιθυμίαν, ὃ καὶ μάλιστα προπαρασκευαστικὸν τῆς τοιαύτης ρεύσεως γίνεται. Τὴν τοιαύτην, λέγω, ρεῦσιν, ὁποῦ ἀπὸ αὐτὰ κἀνένα δὲν τὴν γεννᾷ, ἀλλὰ εἶναι καὶ αὐτὴ ἕνα φυσικὸν περίττωμα, καθὼς εἶναι καὶ ἐκεῖνα τὰ ἄλλα ὁποῦ ἐπαριθμεῖ ὁ Ἅγιος, δὲν τὴν ἔχει διὰ κακὸν τίποτε. Ὅθεν καὶ δὲν λέγει ἁπλῶς, ἡ ἔκκρισις δὲν εἶναι ἁμαρτία, ἀλλὰ λέγει μὲ προσθήκην ἡ φυσικὴ ἔκκρισις, ἤγουν ἐκείνη ἡ αὐτόματος καὶ μόνον ὡσὰν ἕνα ἁπλῶς περίττωμα συμβαίνουσα, ἐκείνη δὲν εἶναι κακὴ, διατὶ εἶναι ἀποτέλεσμα φυσικὸν φυσικοῦ σώματος, τὸ ὁποῖον, ὡς ἀγαθοῦ Δημιουργοῦ δημιούργημα, δὲν εἶναι τρόπος νὰ μὴ ἦναι

ἄλλας ἐκκρίσεις καὶ περιττώματα ὁποῦ εὐγάνει. Ὡσὰν νὰ εἰποῦμεν διὰ τὰς μύξας, διὰ τὰ φλέγματα, καὶ πρὸς τούτοις καὶ διὰ αὐτὰ τῆς γαστρὸς τὰ ὑποχωρήματα, τὰ ὁποῖα εἶναι ὡσὰν ἀναγκαῖα εἰς τὸ ἀνθρώπινον σῶμα. Διότι, ἂν πιστεύωμεν (λέγει) πῶς ὁ ἄνθρωπος εἶναι ποίημα τῶν χειρῶν τοῦ Θεοῦ (καθὼς καὶ εἶναι κατὰ τὰς Γραφὰς), πῶς εἶναι δυνατὸν νὰ ἦναι ἀκάθαρτον τὸ ποίημα τοῦ Θεοῦ, εἰς καιρὸν ὁποῦ ὅσα ἐποίησεν ὁ Θεὸς εἶναι λίαν καλά; Καὶ ἂν ἤμεθα γένος αὐτοῦ, κατὰ τὸν ποιητὴν Ἄρατον, καὶ τὸν Θεῖον Παῦλον, λοιπὸν δὲν ἔχομεν κἀνένα μέρος ἀκάθαρτον· διότι τότε μολυνόμεθα, ὅταν τὴν βρωμερὰν καὶ ἀξιοδάκρυτον ἁμαρτίαν πράττωμεν. Ὅταν δὲ ἡ φυσικὴ ἔκκρισις συμβῇ ἐν τοῖς ὕπνοις ἡμῶν χωρὶς τὸ θέλημά μας, τότε ὑπομένομεν ταύτην, ὡσὰν ἕνα παρακολούθημα ἀναγκαῖον τῆς φύσεώς μας, καθὼς καὶ τὰ ἀνωτέρω περιττώματα, ὁποῦ εἴπομεν. Ἀλλ' ἐπειδὴ ἐκεῖνοι ὁποῦ θέλουσι νὰ ἐναντιόνωνται εἰς τὰ ὀρθῶς λεγόμενα, ἢ μᾶλλον εἰπεῖν εἰς τὰ παρὰ Θεοῦ ποιηθέντα, φέρουσιν εἰς ἐναντίωσίν μας τὸ ρητὸν τοῦ Εὐαγγελίου ὁποῦ λέγει, ὄχι τὰ εἰσερχόμενα, ἀλλὰ τὰ ἐξερχόμενα κοινοῖ τὸν ἄνθρωπον, πρέπει νὰ ἀναιρέσωμεν καὶ αὐτὴν τὴν ἀνοησίαν των καὶ ὄχι ἀπορίαν, καὶ λέγομεν ὅτι, αὐτοὶ ὄντες ἀμαθεῖς, ἐξηγοῦσι καὶ τὰς ἁγίας Γραφὰς κατὰ τὴν ἀρέσκειαν καὶ ἀμάθειάν τους. Τὸ δὲ Εὐαγγελικὸν ρητὸν ἔχει τέτοιον νόημα. Ἐπειδὴ μερικοὶ ἐδίσταζον (ὡσὰν τούτους) διὰ τὰ φαγητά, δειλιῶντες ὅτι ἔχουν νὰ τοὺς μολύνουν ἐὰν τὰ φάγουν, ὁ Χριστὸς λύει τὴν ἄγνοιαν καὶ φανερόνει τὴν ἀπάτην αὐτῶν λέγων, ὅτι ὄχι τὰ εἰσερχόμενα κοινοῖ, ἤτοι μολύνουν τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα, καὶ εὐθὺς λέγει καὶ πόθεν ἐξέρχονται, δηλονότι ἀπὸ τὴν καρδίαν, εἰς τὴν ὁποίαν εὑρίσκονται οἱ πονηροὶ θησαυροὶ τῶν ἀκαθάρτων λογισμῶν καὶ τῶν ἄλλων ἁμαρτημάτων. Ὁ δὲ Θεῖος Παῦλος πλέον σύντομα καὶ φανερὰ μᾶς ἐδίδαξε τοῦτο λέγων, «Βρῶμα ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ.» Τοῦτο δὲ τὸ ἴδιον δικαίως ἤθελεν εἰπεῖ τινὰς καὶ εἰς τὴν παροῦσαν ὑπόθεσιν. Φυσικὴ ἔκκρισις οὐ παρίστησιν ἡμᾶς πρὸς τιμωρίαν. Τάχα δὲ περὶ τούτου θέλουν ἀποκριθοῦν, λέγει, εἰς αὐτοὺς καὶ οἱ τῶν σωμάτων ἰατροί, διὰ νὰ καταπεισθῶσι κἂν ἀπὸ τοὺς ἔξωθεν. Λέγουσι γὰρ καὶ αὐτοί, ὅτι ἐδόθηκαν κάποιοι ἀναγκαῖοι πόροι ἀπὸ τὸν Δημιουργὸν εἰς τὸν ἄνθρωπον, διὰ νὰ εὐγαίνωσι τὰ περιττώματα ἀπὸ τὰ τρεφόμενα μέλη μας, ὡσὰν νὰ εἰποῦμεν, περιττώματα μὲν τῆς κεφαλῆς εἶναι αἱ τρίχες καὶ τὰ ἄλλα ὑγρὰ ὁποῦ εὐγαίνουσι διὰ τῶν πόρων αὐτῆς (μύξαις δηλ. ἀπὸ τὴν μύτην, πτύσματα ἀπὸ τὸ στόμα, δάκρυα ἀπὸ τὰ ὀμμάτια καὶ τὰ λοιπὰ), τῆς δὲ γαστρὸς περιττώματα εἶναι τὰ ὑποχωρήματα. Τὸ λοιπὸν, καθὼς εἶναι αὐτὰ, ἔτσι καὶ ἐκείνη ἡ ἔκκρισις τοῦ ἐνυπνιασμοῦ εἶναι ἕνα περίττωμα τῶν σπερματικῶν πόρων· ὅθεν στρέφει πρὸς τὸν ὅσιον καὶ λέγει· Ἐπειδὴ λοιπὸν καὶ ὁ Θεὸς ἔπλασε τὸν ἄνθρωπον καὶ ἠθέλησε νὰ ἔχῃ τὸ σῶμά του τοιαύτας ὀργανώσεις καὶ πόρους, ποίαν ἁμαρτίαν πλέον ἔχει ὁ ἄνθρωπος διὰ τοῦτο; οὐδεμίαν, ὡς νομίζω. Πρέπει δὲ ἀκόμη λέγει, νὰ προλάβωμεν τὰς ἀνθιστάσεις τῶν φυλονείκων καὶ πονηρῶν· διότι δύνανται νὰ εἰποῦν, λοιπὸν δὲν εἶναι ἁμαρτία, οὔτε ἡ ἀληθινὴ μεταχείρισις τῶν σπερματικῶν ὀργάνων, ἐπειδὴ καὶ αὐτὰ ἐδόθησαν ἀπὸ τὸν Θεὸν διὰ τοιαύτην χρῆσιν καὶ μεταχείρισιν; πρὸς τὸ ὁποῖον ἀποκρινόμεθα. Ποίαν λέγεις χρῆσιν καὶ μεταχείρησιν; τὴν νόμιμον καὶ ἐκείνην ὁποῦ ὁ Θεὸς συνεχώρησε μὲ τὴν, αὐξάνεσθε καὶ πληθύνεσθε ἐντολήν, τὴν ὁποίαν καὶ ὁ Ἀπόστολος ἐγκωμιάζει, λέγων· Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος, ἢ τὴν κοινὴν ὁποῦ γίνεται κρυφίως καὶ ἀνόμως; ταὐτὸν εἰπεῖν, τὴν πορνείαν καὶ τὴν μοιχείαν; εἰ μὲν ἐκείνην λέγεις, φανερὸν, ὅτι εἶναι καλὴ, εἰ δὲ ταύτην, φανερὸν, ὅτι εἶναι κακή. Καὶ ἂς μὴ θαυμάζωμεν (λέγει ὁ Ἅγιος) ἂν ἕνα καὶ τὸ αὐτὸ πρᾶγμα γίνεται, ποτὲ μὲν καλὸν, ποτὲ δὲ κακὸν, ἐπειδὴ βλέπομεν καὶ ἄλλα πολλὰ εἰς τὴν παροῦσαν ζωὴν, ὁποῦ γίνονται ἄλλοτε μὲν καλὰ, ἄλλοτε δὲ κακά. Χάριν λόγου, ὁ φόνος δὲν εἶναι συγκεχωρημένος, ἀμὴ ὅταν γίνεται ἐν καιρῷ πολέμου ἐναντίον εἰς ἐχθροὺς πίστεως, τότε εἶναι καὶ συγκεχωρημένος καὶ ἐπαινετὸς, καὶ διὰ τοῦτο οἱ νικήσαντες εἰς πόλεμον μεγάλας τιμὰς λαμβάνουσι καὶ ἀνδριάντες στήνονται εἰς τὸ ὄνομά των, οἵτινες κηρύττουσι τὰς νίκας των (περὶ τούτων ὅρα τὸν ιγ'. τοῦ Βασιλείου). Τὸ λοιπὸν, τοῦτος ὁ ἴδιος λογαριασμὸς ἀκολουθεῖ καὶ εἰς τὴν μίξιν. Καὶ ἐπαινεῖ μὲν ὁ Ἅγιος ἐνταῦθα ἐκείνους ὁποῦ μεταχειρίζονται τὴν συνάφειαν τοῦ γάμου πρὸς παιδοποιΐαν, μὲ τὸ ρητὸν τοῦ Ἱερεμίου· ἐκφοβεῖ δὲ πάλιν τοὺς ἀσελγεῖς μὲ τὸ Ἀποστολικὸν ρητὸν, ὁποῦ λέγει, πόρνους καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. Εἶτα δείκνυσιν, ὅτι ὁ Θεὸς μᾶς ἔδειξεν εἰς τὴν παροῦσαν ζωὴν δύω στράτας, μίαν μὲν μετρίαν καὶ ταπεινὴν, τὴν τοῦ γάμου λέγω καὶ τῆς ὑπανδρείας, καὶ ἄλλην δὲ ἀγγελικὴν καὶ ἀσύγκριτον, τὴν τῆς παρθενίας· καὶ ὅποιος μὲν διαλέξει τὸν γάμον, δὲν ἔχει κἀμμίαν ἁμαρτίαν, πλὴν δὲν ἠμπορεῖ νὰ λάβῃ τὰ χαρίσματα τῆς παρθενίας (1), λαμβάνει ὅμως τὸν τριάκοντα καρπὸν (διὰ

ἀγαθόν. Ὁ δὲ μέγας Βασίλειος ἀκαθαρσίαν ὀνομάζει τὴν ἐν τοῖς ὕπνοις συμβαίνουσαν ῥεῦσιν, ὄχι ἁπλῶς πᾶσαν, ἀλλὰ τὴν ἀπὸ φαντασίας ἡδονικῆς, τὴν ἀπὸ γαργαλισμοῦ ἡμερινοῦ, ταὐτὸν εἰπεῖν τὴν ἐξ ἔρωτος συμβαίνουσαν, διατὶ αὐτὴ δὲν εἶναι μόνον τοῦ σώματος μολυσμὸς, ἀλλὰ καὶ τῆς ψυχῆς, καὶ πολὺ πρότερον τῆς ψυχῆς, ὅτι ἐκείνης πρώτης παθούσης καὶ λογισαμένης τὸ κακὸν, ἐκεῖθεν καὶ εἰς τὸ σῶμα κατέβη τὸ πάθος τοῦ μολυσμοῦ. Ὅρα δὲ ὅτι, καὶ μ' ὅλον ὁποῦ ὁ μέγας Ἀθανάσιος δὲν λέγει ἀκάθαρτον τὴν ῥεῦσιν τοῦ σπέρματος, δὲν ἐπρόσθεσεν ὅμως, ὅτι καὶ νὰ μεταλαμβάνουν οἱ τοῦτο παθόντες, ἀλλὰ τὸ ἐσιώπησε, καὶ ὅρα εἰς τὸν δ'. τοῦ Διονυσίου.

(1) Οὐράνια καὶ ὑπεροχικὰ εἶναι τὰ τῆς παρθενίας χαρίσματα καὶ προνόμια, καὶ κἀμμίαν σύγκρισιν μετὰ τοῦ γάμου δὲν ἔχουσιν. Ὁ γὰρ θεῖος Χρυσόστομος ἐν τῷ περὶ Παρθενίας λόγῳ φησί· «Τοσούτῳ προύχει τοῦ γάμου ἡ παρθενία, ὅσῳ τῆς γῆς ὁ οὐρανὸς ἀπολείπεται, καὶ τῶν ἀνθρώπων οἱ Ἄγγελοι.» Ὁ Αὐγουστῖνος ἐν τῷ περὶ παρθενίας· Ἡ παρθενικὴ διαγωγὴ ἀγγελική ἐστι διαγωγὴ, καὶ ἐν φθαρτῷ σώματι ἀΐδιου ἀφθαρσίας μελέτη». Ὁ Ἱερώνυμος (βιβλ. κατὰ Ἰοβινίαν)· «Ἡ παρθενία θυσία ἐστὶ τοῦ Χριστοῦ, μίμησιν ἔχουσα ἀγγελικήν.» Καὶ ἐπιστ. κδ'. λέγει· «Ὅταν ὁ Υἱὸς τοῦ Θεοῦ κατέβη ἐπὶ τῆς γῆς, ἀγγελικὴν διαγωγὴν κατέστησεν, ὅπως ὁ ὑπὸ τῶν Ἀγγέλων ἐν οὐρανῷ προσκυνούμενος, Ἀγγέλους ἐπὶ γῆς ἔχῃ». Ὁ Θεοφόρος Ἰγνάτιος ἐν τῇ πρὸς Ταρσοῖς ἐπιστολῇ, «Τὰς παρθένους ἱερείας

τῆς παιδοποιΐας) κατὰ τὴν παραβολὴν τοῦ σπόρου. Ὅποιος δὲ ἀγαπήσει τὴν παρθενίαν καὶ μοναδικὴν πολιτείαν, (ἀγκαλὰ καὶ αὕτη εἶναι δυσκατόρθωτος παρὰ τὴν πρώτην, ἤτοι ἡ περισσότερον ἀπὸ τὴν πρώτην ὁδὸν τοῦ γάμου δηλαδή, ἡ κατ' ἀρχάς, διὰ τὸ ἀσυνήθιστον καὶ τὸ τοῦ σώματος νεάζον καὶ πρὸς μίξιν κατωφερὲς), ἀποκτᾷ ὅμως χαρίσματα θαυμαστότερα ἀπὸ τὸν γάμον· διότι βλαστάνει τὸν τέλειον καρπὸν, τὴν ἑκατοντάδα, εἶτα λέγει, ὅτι τὰ τοιαῦτα ἀκάθαρτα ζητήματα τῶν τοιούτων ἔχουσι τὴν λύσιν των ἀπὸ τὰς ἁγίας Γραφάς. Συμβουλεύσας δὲ αὐτὸν νὰ ὑποστηρίζῃ μὲ συμβουλὰς καὶ νουθεσίας τοὺς ὑπ' αὐτοῦ κυβερνωμένους Μοναχοὺς, ἔκ τε τοῦ ἁγίου Εὐαγγελίου, ἐκ τοῦ Ἀποστόλου καὶ ἐκ τῶν Ψαλμῶν τοῦ Δαβὶδ, καὶ εἰς εὐχὴν τρέψας τὸν λόγον, τελειοῖ τὴν ἐπιστολήν. Ὅρα καὶ τὸν δ'. τοῦ Διονυσίου, καὶ τὴν εἰς ἐκεῖνον ὑποσημείωσιν.

Τοῦ αὐτοῦ Ἐπιστολὴ Β'. πρὸς Ρουφινιανὸν, ἢ Ρουφιανόν.

Κυρίῳ υἱῷ καὶ ποθεινοτάτῳ συλλειτουργῷ Ρουφιανῷ, Ἀθανάσιος ἐν Κυρίῳ χαίρειν.

Σὺ μὲν τὰ υἱῷ ἠγαπημένῳ πρέποντα πρὸς πατέρα γράφεις. Ἐγγίσαντα γοῦν σε διὰ τοῦ γράμματος περιεπτυξάμην, πάντων ἐμοὶ, ποθεινότατε Ρουφινιανὲ, κἀγὼ δὲ ὡς υἱῷ δυνάμενος γράφειν ἔν τε προοιμίοις καὶ μέσοις καὶ τελευταίοις ἐπέσχον, ἵνα μὴ ἐκ γραμμάτων ἡ σύστασις καὶ ἡ μαρτυρία γνωρίζηται. Οὕτω τοίνυν πίστευε διακείμενος· σὺ γὰρ ἐμὴ Ἐποστολὴ κατὰ τὸ γεγραμμένον, ἐπιγινωσκομένη καὶ ἀναγινωσκομένη ἐν καρδίᾳ. [β'. Κορ. γ'. 2.] Οὕτω τοίνυν πίστευε διακείμενος. Ναὶ, πίστευε. Προσαγορεύω σε καὶ προτρέπω γράφειν· οὐ γὰρ ὀλίγως, ἀλλὰ μεγάλως εὐφραίνεις τοῦτο ποιῶν. —Ἐπειδὴ δὲ φιλοκάλως καὶ ἐκκλησιαστικῶς (τοῦτο γὰρ πάλιν πρέπει τῇ σῇ εὐλαβείᾳ) ἠρώτησας περὶ τῶν δι' ἀνάγκην ὑποσυρέντων μὲν, μὴ φθαρέντων δὲ ἐν τῇ κακοπιστίᾳ, καὶ ἠθέλησας γράψαι μοι τὰ δόξαντα περὶ αὐτῶν ἐν ταῖς Συνόδοις καὶ πανταχοῦ· γίνωσκε, Κύριέ μου ποθεινότατε, ὅτι ἐν ἀρχῇ μὲν παυσαμένης τῆς γενομένης βίας, γέγονε Σύνοδος παρόντων ἀπὸ τῶν ἔξω μερῶν Ἐπισκόπων· γέγονε δὲ καὶ παρὰ τοῖς τὴν Ἑλλάδα κατοικοῦσι συλλειτουργοῖς. Οὐδὲν δὲ ἧττον καὶ τοῖς ἐν Ἱσπανίᾳ καὶ Γαλλίᾳ, καὶ ἤρεσεν ὅπερ ὧδε καὶ πανταχοῦ. Ὥστε τοῖς μὲν καταπεπτωκόσι καὶ προϊσταμένοις τῆς ἀσεβείας, συγγινώσκειν μὲν μετανοοῦσι, μὴ διδόναι δὲ αὐτοῖς τόπον Κλήρου. Τοῖς δὲ μὴ ἀθετοῦσι μὲν τῆς εὐσεβείας, παρασυρεῖσι δὲ δι' ἀνάγκην καὶ βίαν, ἔδοξε δίδοσθαι μὲν συγγνώμην, ἔχειν δὲ καὶ τὸν τόπον τοῦ Κλήρου, μάλιστα ὅτι ἀπολογίαν πιθανὴν ἐπορίσαντο, καὶ ἔδοξε τοῦτό πως οἰκονομικῶς γεγενῆσθαι· διαβεβαιώσαντο γὰρ μὴ μεταβεβλῆσθαι εἰς ἀσέβειαν. Ἵνα δὲ μὴ κατασταθέντες τινὲς ἀσεβέστατοι διαφθείρωσι τὰς Ἐκκλησίας, εἵλοντο μᾶλλον συνδραμεῖν τῇ βίᾳ καὶ βαστάσαι τὸ βάρος, ἢ λαοὺς ἀπολέσθαι.— Τοῦτο δὲ λέγοντες, ἔδοξαν καὶ ἡμῖν πιθανῶς λέγειν, διὰ τὸ καὶ προφασίζεσθαι αὐτοὺς τὸν Ἀαρὼν τὸν Μωϋσέως ἀδελφὸν ἐν τῇ ἐρήμῳ συνδραμεῖν μὲν τῇ τοῦ λαοῦ παραβάσει, ἀπολογίαν δὲ ἐσχηκέναι, ἵνα μὴ ὁ λαὸς ὑποστρέψας εἰς Αἴγυπτον ἐπιμείνῃ τῇ εἰδωλολατρείᾳ. Καὶ γὰρ ἦν φαινόμενον εὔλογον, ὅτι μένοντες μὲν ἐν τῇ ἐρήμῳ, δύναντο παύσασθαι τῆς ἀσεβείας, εἰσελθόντες δὲ εἰς Αἴγυπτον, ἐπετρίβοντο καὶ κῦξαι ἐν αὐτοῖς τὴν ἀσέβειαν. Τούτου τοίνυν ἕνεκα συγγνωστὸν τὸ πρὸς τὸν Κλῆρον γέγονε. Τοῖς δὲ ἀπατηθεῖσι καὶ βίαν παθοῦσι συγγνώμη δέδοται.—Ταῦτα καὶ τῇ σῇ εὐλαβείᾳ δηλῶ, θαρρῶν ὅτι καὶ τὰ δόξαντα ὑποδέξεταί σου ἡ θεοσέβεια, καὶ οὐ καταγνώσεται ἐκχειρίαν τῶν συνελθόντων οὕτω. Καταξίωσον δὲ ταῦτα ἀναγνῶναι τῷ ἱερατείῳ καὶ τῷ λαῷ τῷ ὑπὸ σὲ, ἵνα καὶ αὐτοὶ γινώσκοντες μὴ μέμφωνται οὕτω σε διακείμενον περὶ τοὺς τοιούτους. Ἀπρεπὲς γὰρ ἦν ἐμὲ γράφειν, δυναμένης τῆς σῆς εὐλαβείας, καὶ τὴν ἡμῶν περὶ αὐτοὺς διάθεσιν ἀπαγγεῖλαι, καὶ πάντα τὰ λείποντα ἀποπληρῶσαι, χάρις τῷ Κυρίῳ τῷ πληρώσαντί σε ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει. Οἱ μὲν οὖν μετανοοῦντες, φανερῶς ἀναθεματιζέτωσαν, ὀνομάζοντες Εὐδοξίου καὶ Εὐζωΐου τὴν κακοδοξίαν. Αὐτοὶ γὰρ λοιπὸν βλασφημοῦντες, τὸν τοῦ Θεοῦ Λόγον κτίσμα ἐπεγράψαντο, τῆς Ἀρειανῆς (1) αἱρέσεως προστάται. Ὁμολογείτωσαν δὲ τὴν ἐν Νικαίᾳ παρὰ τῶν Πατέρων ὁμολογηθεῖσαν πίστιν, καὶ μηδεμίαν ἄλλην Σύνοδον προκρίνειν ταύτης τῆς Συνόδου, πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα, ἡ σὺν ἡμῖν ἐν Κυρίῳ προσαγορεύει σε.

Χριστοῦ ἐπωνόμασεν». Ὁ Ἀμβρόσιος ἐν τοῖς ψαλμ. καλεῖ αὐτοὺς μάρτυρας. Ὁ Κυπριανὸς ἐν τῷ περὶ παρθενίας· «Ἄνθος καὶ ῥόδον τῆς Ἐκκλησίας τὴν παρθενίαν καλεῖ.» Ὁ Ἴδιος αὐτὸς Ἀθανάσιος ἐν τῷ περὶ παρθ. λέγει· «Πλοῦτος ἀδαπάνητός ἐστιν ἡ παρθενία, στέφανος ἀμάραντος, ναὸς Θεοῦ, ἐνδιαίτημα τοῦ ἁγίου Πνεύματος, μαργαρίτης ἔντιμος, τρόπαιον κατὰ τοῦ ᾅδου καὶ τοῦ θανάτου.» Ὁ θεολόγος Γρηγόριος ἐν τοῖς ἔπεσι λέγει, ὅτι οἱ παρθένοι μιμοῦνται τὴν παρθένον ἁγίαν Τριάδα, ἐνώπιον τοῦ Ἀρνίου στέκονται, καὶ ἀκολουθοῦσιν αὐτῷ ὅπου ἂν ὑπάγῃ κατὰ τὸ ιδ'. Κεφ. τῆς Ἀποκαλύψεως. Ἡ παρθενία εἶναι ἐνωμένη μὲ τὴν σοφίαν· δι' ὃ καὶ αὖται ὡς δοῦλαι ὡραιότατα γυναῖκες ἐνηγκαλίσαντο τὸν αὐτὸν Θεολόγον ἐγρηγορότα. Τοσοῦτόν ἐστι καλὴ ἡ παρθενία, ὥστε ὁποῦ καὶ ὁ γάμος χωρὶς αὐτὴν ἄχρηστός ἐστιν. Ὁ γὰρ Παῦλος λέγει, ὅτι οἱ ἔχοντες γυναῖκας μὲ τόσην σωφροσύνην καὶ παρθενίαν πρέπει νὰ τὰς ἔχουν, ὡσὰν νὰ μὴ τὰς εἶχον καὶ ὁλότελα. Λέγει δὲ καὶ ὁ Πηλουσιώτης Ἰσίδωρος· «Κατὰ μὲν τὴν ἀγνείαν τοῖς Ἀγγέλοις ὁμοιοῦται ὁ ἄνθρωπος, κατὰ δὲ τὸν γάμον, τῶν θηρίων οὐδὲν διενήνοχεν, οἷς ἡ συνουσία ἀναγκαία ἐστίν» (ἐπιστολ. ᾠθη'.). Πλὴν, ὅσον ἀτίμητος εἶναι ἡ παρθενία, τόσον πρέπει καὶ νὰ φυλάττεται μὲ ὅλην τὴν δύναμιν καὶ προσοχὴν· διατὶ, ἂν μίαν φορὰν τὴν χάσῃ ὁ ἄνθρωπος, δὲν θέλει τὴν ἀποκτήσει πλέον ποτὲ ποτὲ, κατὰ τὸν μέγαν Βασίλειον, λέγοντα· «Μετάνοια μὲν γὰρ ἀφίησιν ἁμαρτίας, τὴν δὲ ἐφθαρμένην, ὡς μὴ ἐφθαρμένην ἀδυνατοῦσα ποιῆσαι, διὰ βίου ὀδύρεται» (λόγ. περὶ παρθενίας).

(1) Ἴσως, ὡς τῆς Ἀρειανῆς, ἢ ἀπεγράψαντο προστάται τῆς Ἀρειανῆς αἱρέσεως.

Ἑρμηνεία. (1)

Ἡ παροῦσα ἀποκριτικὴ Ἐπιστολὴ τοῦ Ἁγίου, ὁποῦ κάμνει πρὸς τὸν Ἐπίσκοπον Ρουφινιανὸν, δὲν διαλαμβάνει διὰ ἐκείνους ὁποῦ ἠρνήθησαν τὸν Χριστὸν καὶ τοῖς εἰδώλοις ἔθυσαν· περὶ τούτων γὰρ ὁμιλεῖ ἡ ἐν Ἀγκύρᾳ Σύνοδος, καὶ ὁ Ἅγιος Πέτρος ὁ Ἀλεξανδρείας πλατύτερον, ἀλλ' ὁμιλεῖ διὰ ἐκείνους ὁποῦ ἐσυγκοινώνησαν μὲ τοὺς αἱρετικοὺς τοὺς Ἀρειανοὺς· διότι αὐτοὶ, ἐπειδὴ ἔτυχον Βασιλεῖς κοινωνοὺς τῆς αἱρέσεώς των, ἐδυναμώθησαν καὶ ἐβίασαν πολλοὺς ὀρθοδόξους νὰ συγκοινωνήσουν εἰς τὴν αἵρεσίν των, οἵτινες μετενόησαν ὕστερον, καὶ ἐπέστρεψαν τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ. Καὶ περὶ τούτων ἐρωτᾷ ὁ Ρουφινιανὸς τὸν μέγαν Ἀθανάσιον πῶς πρέπει νὰ τοὺς δέχεται, πρὸς τὸν ὁποῖον ἀποκριθεὶς ὁ Ἅγιος διὰ τῆς παρούσης Ἐπιστολῆς, εἰς μὲν τὸ προοίμιον δεικνύει τὰ διάπυρον φίλτρον τῆς πατρικῆς ἀγάπης, ὁποῦ πρὸς αὐτὸν ἔχει, παρακινῶντας αὐτὸν νὰ τοῦ γράφῃ συνεχῶς, εἰς δὲ τὴν ἐρώτησιν ἀποτεινόμενος λέγει· Ἐπειδὴ ἐρωτᾷς ἐκκλησιαστικῶς διὰ ἐκείνους ὁποῦ ἑκοινώνησαν τοῖς αἱρετικοῖς, εἶτα δὲν ἔμειναν τῇ αὐτῶν αἱρέσει μέχρι τέλους, ἀλλὰ μετενόησαν ἤξευρε, ὅτι ἔγειναν περὶ τοῦ ζητήματος τούτου διάφοροι Σύνοδοι εἰς διαφόρους τόπους, καὶ εἰς τὴν Ἑλλάδα, καὶ εἰς τὴν Ἱσπανίαν καὶ εἰς τὴν Γαλλίαν (ἴσως δὲ τὸ, γέγονε καὶ παρὰ τοῖς τὴν Ἑλλάδα κατοικοῦσι συλλειτουργοῖς, δηλοῖ, ὅτι διὰ γραμμάτων τοῦ ἁγίου Ἀθανασίου ἀνεκοινώθη εἰς τοὺς Ἀρχιερεῖς τῆς Ἑλλάδος ἡ τῆς ἐν Ἀλεξανδρείᾳ Συνόδου ἀπόφασις, ὃ καὶ μᾶλλον ἀληθές. Δι' ὃ καὶ ὁ Δοσίθεος ἐν σελ. 181 τῆς Δωδεκαβίβλ. λέγει, ὅτι διὰ γραμμάτων ἔλαβε κοινωνοὺς τῆς γνώμης ταύτης ὁ Ἀθανάσιος τοὺς τῆς Μακεδονίας καὶ Ἀχαΐας Ἐπισκόπους, ὡς γράφει ὁ μέγας Βασίλειος), καὶ ἐκεῖνο ὁποῦ ἐδῶ ἀπεφασίσθη ἀπὸ ἡμᾶς (2), ἀπεφασίσθη καὶ ἀπὸ ὅλους ἐκείνους. Καὶ λέγομεν λοιπὸν, ὅτι ὅσοι ἱερωμένοι ὄχι μόνον ἐσυγκοινώνησαν τοῖς Ἀρειανοῖς, καὶ ὁμολόγησαν ὅτι φρονοῦν ὅσα φρονοῦσι καὶ αὐτοὶ, ἀλλ' ἔγιναν μὲ αὐτοὺς καὶ προστάται τῆς αἱρέσεως, ὥστε ὁποῦ νὰ παρακινοῦσι καὶ ἄλλους νὰ ἔρχωνται εἰς τὸν Ἀρειανισμὸν, οὗτοι ὅταν ἐπιστραφῶσιν εἰς τὴν ὀρθόδοξον Ἐκκλησίαν, πρέπει νὰ τοὺς δεχώμεθα, ὄχι ὅμως νὰ τοὺς ἀφίνωμεν καὶ εἰς τὸν βαθμὸν τῆς ἱερωσύνης, ἀμὴ ὡς λαϊκοὺς νὰ τοὺς ἔχωμεν πλέον (3). Ἐκεῖνοι δὲ πάλιν ὁποῦ ἐσυγκοινώνησαν εἰς τὴν αἵρεσιν ταύτην ὄχι μὲ γνώμην ἐλευ-

(1) Σημείωσαι ὅτι ἡ Ἐπιστολὴ αὕτη τρεῖς φοραῖς ἀνεγνώσθη ἐν τῇ ά. πράξει τῆς ζ'. Συνόδου.

(2) Ἡ Σύνοδος αὕτη συνεκροτήθη ἐν Ἀλεξανδρείᾳ κατὰ τὸ 362 ἔτος. προνοίᾳ μάλιστα καὶ συνεργείᾳ Ἀθανασίου τοῦ μεγάλου, ἐν ᾗ ἦσαν παρόντες Εὐσέβιος ὁ Μαρκέλλων, Ἀστέριος, ὁ Πέτρας τῆς Ἀραβίας Ἐπίσκοπος καὶ ἄλλοι Ἐπίσκοποι ἀπὸ Ἰταλίας, Ἀραβίας, Αἰγύπτου καὶ Λιβύης· ὀλίγοι μὲν, ἀξιόλογοι ὅμως ἄνδρες καὶ περιφανεῖς, οἵτινες τὰ ἐν Νικαίᾳ δογματισθέντα ἐκράτυναν, καὶ ταῦτα ἰδιαίτερον ἀπεφάσισαν· Α'. ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ὁμοούσιόν ἐστι Πατρὶ καὶ Υἱῷ· Β'. ὅτι ὁ Θεὸς Λόγος ἐνανθρωπήσας, σάρκα προσέλαβεν ἔμψυχον καὶ ἔννουν (οἱ γὰρ Ἀρειανοὶ ἔλεγον, ὅτι ἄψυχον σάρκα προσέλαβεν, ἐνήργει δὲ ἀντὶ ψυχῆς ἡ Θεότης. Οἱ δὲ Ἀπολιναριστᾶι, ὅτι ἄνουν)· Γ'. ὅτι πρέπει νὰ λέγωνται ἐπὶ Θεοῦ αἱ λέξεις τῆς οὐσίας καὶ ὑποστάσεως, ἤτοι μία οὐσία καὶ τρεῖς ὑποστάσεις, πρὸς ἀποβολὴν τῆς τοῦ Σαβελλίου αἱρέσεως, ἵνα μὴ, στενώσει τῶν λέξεων, ὡς ἓν πρᾶγμα τριώνυμον νομίζωμεν τὴν ἁγίαν Τριάδα, ἀλλ' ἕκαστον τῶν ὀνομάτων, ὁ Πατὴρ δηλαδὴ, ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα, ἐν ἰδίᾳ ὑποστάσει θεολογεῖ (Σωκρατ. βιβλ. γ'. Κεφ. ζ'. Σωζομ. βίβλ. έ. Κεφ. ιϐ'.), τὴν ὁποίαν ταύτην ζήτησιν ἡ ἐν Νικαίᾳ ά. Σύνοδος παρέβλεψεν, οἰκονομοῦσα τὰ πράγματα· Δ'. δὲ μάλιστα κατόρθωμα τῆς Συνόδου ταύτης ἐστάθη, τὸ νὰ ἑνώσῃ τοὺς Ἀνατολικοὺς μὲ τοὺς Δυτικοὺς, οἵτινες ἄκρως διεφέροντο, καὶ μέγα σχίσμα εἶχον ἀναμεταξύ των, διατὶ, οἱ μὲν Ἀνατολικοὶ λέγοντες εὐσεβῶς ἐπὶ Θεοῦ μίαν οὐσίαν καὶ τρεῖς ὑποστάσεις, οὐχὶ δὲ μίαν ὑπόστασιν, ἢ τρία πρόσωπα, ἐκατηγοροῦντο ἀπὸ τοὺς Ἰταλοὺς ὅτι εἶναι Ἀρειανοὶ, (ἐπειδὴ ὁ Ἄρειος ὡμολόγει μὲν τὰς τρεῖς ὑποστάσεις ἐπὶ Θεοῦ, ἑτερφυεῖς ὅμως καὶ ἑτεροουσίους, τρία δὲ πρόσωπα μιᾶς φύσεως οὐκ ἐδέχετο)· οἱ δὲ Ἰταλοὶ διὰ τὴν στενότητα τῆς γλώσσης των, μίαν λέξιν ἔχοντες τὴν ὑπόστασιν, δηλωτικὴν καὶ τῆς οὐσίας καὶ τῆς ὑποστάσεως· τρεῖς μὲν ὑποστάσεις δὲν ἔλεγον ἐπὶ Θεοῦ, ἵνα μὴ φανῶσιν, ὅτι καὶ τρεῖς οὐσίας ἐν τῇ Τριάδι δοξάζουσιν, ἀλλ' ἀντὶ τῶν τριῶν ὑποστάσεων, τρία πρόσωπα ἔλεγον, καὶ ἀντὶ τῆς μιᾶς οὐσίας, μίαν ὑπόστασιν. Ὅθεν καὶ ἐκατηγοροῦντο ἀπὸ τοὺς Ἀνατολικοὺς πῶς εἶναι Σαβελλιανοὶ (ὁ γὰρ Σαβέλλιος μίαν ὑπόστασιν ἔλεγεν ἐπὶ Θεοῦ τριώνυμον)· διὰ τοῦτο ἡ Σύνοδος αὕτη συγκαλέσασα τοὺς Ἀνατολικούς τε καὶ Δυτικοὺς, καὶ μαθοῦσα παρ' αὐτῶν, ὅτι τὰ τρία πρόσωπα καὶ αἱ τρεῖς ὑποστάσεις διαφέρουσι μόνον κατὰ τὴν λέξιν καὶ προφοράν, μίαν δὲ καὶ τὴν αὐτὴν σημασίαν καὶ ἔννοιαν ἔχουσι· παρομοίως καὶ ἡ οὐσία καὶ ἡ ὑπόστασις διάφοροι οὖσαι κατὰ τὸν ἦχον, ἐπὶ μιᾶς καὶ τῆς αὐτῆς ἐννοίας καὶ πράγματος λέγονται παρ' αὐτῶν, ἐσυγχώρησεν εἰς ἐκείνους καὶ εἰς τούτους νὰ λέγουσι τὰς διαφόρους λέξεις αὐτὰς ὡς ἡνωμένας κατὰ τὴν σημασίαν καὶ πρᾶγμα, ἀφ' οὗ πρῶτον ἀνεθεμάτισαν τὸν Ἄρειον καὶ τὸν Σαβέλλιον, καὶ οὕτως ἥνωσεν αὐτοὺς καὶ συνώθησεν. Οὐ γὰρ ἐν ὀνόμασιν, ἀλλ' ἐν πράγμασιν ἡμῖν ἡ ἀλήθεια (Περὶ ταύτης τῆς ὑποθέσεως ἀναφέρει καὶ ὁ Θεολόγος Γρηγόριος εἰς τὸ ἐγκώμιον τοῦ μεγάλου Ἀθανασίου, λέγων, ὅτι ἡ ἕνωσις αὕτη τῶν Ἀνατολικῶν καὶ Δυτικῶν ἐστάθη ἔργον τοῦ Ἀθανασίου, ἐπειδὴ κατὰ πρόνοιαν καὶ συνεργίαν αὐτοῦ, ὡς εἴπομεν, ἡ Σύνοδος αὕτη συνεκροτήθη)· Ε'. ἀπεφάσισεν ἡ Σύνοδος αὕτη, ὅτι οἱ ἐκ τῆς τῶν Ἀρειανῶν κοινωνίας ἐπιστρέφοντες εἰς τὴν καθολικὴν Ἐκκλησίαν νὰ δέχωνται, ἀναθεματίζοντες τὴν αἵρεσιν τοῦ Ἀρείου, καὶ ὁμολογοῦντες τὴν ἐν Νικαίᾳ πίστιν (καὶ προσέτι ἀναθεματίζοντες τοὺς λέγοντας τὸ Πνεῦμα τὸ ἅγιον διῃρημένον τῆς οὐσίας τοῦ Χριστοῦ. Ἴσ. τοῦ υἱοῦ)· ς'. δὲ ἐδιώρισε περὶ τῶν Ἀρειανισάντων Ἱερωμένων, ἅπερ καὶ τὰ δύω λέγει ἡ παροῦσα ἐπιστολὴ (ὅρα περὶ τῆς Συνόδου ταύτης τὸν Ρουφῖνον ἱστορικὸν παρὰ τῇ ά. πράξει τῆς ζ'. Συνόδου, καὶ τὸν Δοσίθεον σελ. 178 καὶ 180 τῆς Δωδεκαβίβλ.), καὶ περὶ τῆς Ἐπιστολῆς ταύτης ὅρα τὸν αὐτὸν Δοσίθ. σελ. 637 τῆς Δωδεκαβίβλ. ὅρα καὶ τὴν πρὸς Ἀντιοχεῖς ἐπιστολὴν τῆς Συνόδου ταύτης, κειμένην ἐν τῷ ά. τόμ. τοῦ Ἀθανασίου.

(3) Ἐν τῇ ά. πράξει τῆς ζ'. Συνόδου Σάββας ὁ ἡγούμενος τῶν Στουδίων ἐπεχείρησεν ἐκ τῆς περιόδου τῆς ἐπιστολῆς ταύτης νὰ ἀποδείξῃ, ὅτι δὲν πρέπει νὰ δέχωνται αἱ παρὰ τῶν αἱρετικῶν χειροτονίαι, πρὸς τὸν ὁποῖον ἀντέτεινεν ὁ Ἅγιος Τα-

θέραν καὶ ἑκούσιον, ἀλλὰ μὲ βίαν καὶ στενοχωρίαν, ἐφάνη εὔλογον καὶ συγχώρησις εἰς τούτους νὰ δίδεται, ὅταν ἐπιστραφῶσιν εἰς τὴν ἐκκλησίαν, καὶ τὸν τόπον τοῦ κλήρου πάλιν νὰ ἔχωσιν. Ἤτοι, καθὼς ἦτον πρῶτον ἱερεῖς, ἔτσι πάλιν νὰ μένωσιν ἱερεῖς. Εἶναι δὲ ἄξιοι συγχωρήσεως, ὄχι μόνον διότι ἐβιάσθησαν ὑπὸ τῶν αἱρετικῶν, ἀλλὰ καὶ διὰ τὴν οἰκονομίαν, ὁποῦ λέγουσι πῶς ἔκαμαν· διότι, ἀπολογοῦνται πῶς δὲν ἐσυγκοινώνησαν τῇ αἱρέσει κατὰ ἀλήθειαν, ἀλλὰ μόνον κατὰ προσποίησιν, καὶ τοῦτο δι' οἰκονομίαν καὶ συγκατάβασιν, διὰ νὰ μὴ διωχθοῦν δηλ. τελείως ἀπὸ τὴν Ἐκκλησίαν αὐτοὶ, καὶ ἀντ' αὐτῶν κατασταθῶσιν ἀσεβέστατοι ἄλλοι, καὶ φθείρωσι τελείως τοὺς ὀρθοδόξους. Ὅθεν ἐπρόκριναν νὰ ὑπομείνουν τὸ βάρος τῆς κατ' ἀνάγκην ἀρνήσεως, καὶ νὰ μὴ ἀπολεσθῇ τὸ πλῆθος τῶν ὀρθοδόξων. Τοῦτο λέγοντες, φέρουσι καὶ παράδειγμα τὸν Ἀαρὼν τὸν ἀδελφὸν τοῦ Μωϋσέως, ὅστις ὑπετάχθη εἰς τὴν παράλογον ὁρμὴν τοῦ Ἰσραηλιτικοῦ λαοῦ, καὶ ἔδωκεν αὐτοῖς ἄδειαν (διὰ τὴν ἀργοπορίαν τοῦ Μωϋσέως) καὶ ἐμοσχοποίησαν. Ἀπελογήθη δὲ τῷ Μωϋσεῖ ὕστερον ὅτι ἔκαμεν αὐτὴν τὴν παρανομίαν, διὰ νὰ μὴ ἐπιστραφῇ ὁ λαὸς εἰς τὴν Αἴγυπτον καὶ ἀσεβήσουν τελείως. Διότι βέβαια, ἂν ἔμενον εἰς τὴν ἔρημον, ἐδύνοντο νὰ μεταβληθοῦν ἀπὸ τὴν ἀσέβειαν· ἂν δὲ ὑπέστρεφον εἰς τὴν Αἴγυπτον, οὐδαμῶς, ἀλλὰ μάλιστα ἤθελαν περισσεύσει τὴν ἀσέβειαν· παρομοίως καὶ αὐτοὶ ἐστοχάσθησαν, ὅτι, ἂν αὐτοὶ πρὸς καιρὸν συγκοινωνήσουν κατὰ τὸ φαινόμενον τῇ αἱρέσει, θέλουν μείνουν οἱ χριστιανοὶ εἰς τὴν ὀρθοδοξίαν καὶ δὲν θέλουν ἐξωκείλουν εἰς τὴν κακοδοξίαν, μὴ ἔχοντες βίαν παρά τινος, τὴν ὁποίαν βέβαια ἤθελον πάθει, ἂν ἄλλοι τῆς αἱρέσεως ζηλωταὶ Ἐπίσκοποι εἰς τὰς Ἐκκλησίας καθίσταντο. Διὰ ταύτην τὴν ἀπολογίαν λοιπὸν καὶ τὴν οἰκονομίαν, ἐσυγχωρήθησαν οἱ τοιοῦτοι νὰ ἔχωσι πάλιν τὸν Κλῆρόν τους. Καὶ περὶ μὲν τῶν συγκοινωνησάντων ἱερωμένων ταῦτα λέγει ὁ Ἅγιος, εἰς δὲ τοὺς λαϊκοὺς ὁποῦ ἀπατήθησαν, ἢ βιασθέντες παρὰ τῶν Ἀρειανῶν ἐσυγκοινώνησαν τῇ αὐτῶν αἱρέσει, συγχώρησις δίδοται, λέγει, ὅταν μετανοήσουν καὶ ἐπιστραφῶσι πρὸς τὴν ὀρθοδοξίαν, δεχόμενοι καὶ οἰκονομούμενοι, κατὰ τοὺς Κανόνας τῶν ἁγίων Πατέρων. Ταῦτα, φησὶν, ἔγραψα τῇ θεοσεβείᾳ σου, θαρρῶν ὅτι αὐτὰ ὁποῦ ἐφάνησαν εὔλογον εἰς ἐμὲ, θέλουν φανῇ καὶ εἰς ἐσέ, καὶ δὲν θέλεις κατηγορήσεις κατὰ τῆς Συνόδου ἡμῶν ταύτης ἐκχειρίαν, ἀργίαν δηλαδὴ καὶ ματαιότητα. Ταῦτον εἰπεῖν, δὲν θέλεις μᾶς κατηγορήσεις, πῶς ἀργῶς καὶ ματαίως συνήχθημεν, καὶ πῶς δὲν ἀπεφασίσαμεν κανονικὴν καὶ εὔλογον ἀπόφασιν διὰ τοὺς συγκοινωνήσαντας τοῖς αἱρετικοῖς. Εἰπὼν δὲ ταῦτα ὁ Ἅγιος, καὶ παραγγείλας τῷ Ρουφιανῷ νὰ ἀναγνώσῃ τὴν Ἐπιστολήν του εἰς ὅλους τοὺς Ἱερεῖς, διὰ νὰ ἐξεύρωσι καὶ αὐτοὶ, προσθέτει, καὶ τί χρεωστοῦσι νὰ κάμνουσιν οἱ ἐπιστρέφοντες ἐκ τῆς κοινωνίας τῶν αἱρετικῶν, ὅτι δηλ. πρέπει νὰ ἀναθεματίσουν φανερὰ τὴν αἵρεσιν τοῦ Εὐζώου καὶ Εὐδοξίου, τῶν προστατῶν τῆς Ἀρειανῆς αἱρέσεως, καὶ νὰ ὁμολογήσουν τὸ Σύμβολον τῆς πίστεως τῶν ἐν Νικαίᾳ θεοφόρων Πατέρων, καὶ ἄλλην κἀμμίαν Σύνοδον νὰ μὴ προκρίνουν ἔξω ἀπὸ τὴν Οἰκουμενικὴν πρώτην Σύνοδον. Ἀνάγνωθι καὶ τὸν μζ'. καὶ ξά. καὶ ξή. Ἀποστολικὸν, καὶ τὸν ζ'. τῆς β'.

Τοῦ αὐτοῦ ἐκ τῆς λθ'. ἑορταστικῆς Ἐπιστολῆς, ἥτις ᾠδε γ'. ἐστίν.

Ἀλλ' ἐπειδὴ περὶ μὲν τῶν αἱρετικῶν ἐμνήσθημεν ὡς νεκρῶν, περὶ δὲ ἡμῶν ὡς ἐχόντων πρὸς σωτηρίαν τὰς θείας Γραφὰς, φοβοῦμαι μήπως, ὡς ἔγγραψε Κορινθίοις Παῦλος, τινὲς τῶν ἀκεραίων ἀπὸ τῆς ἁπλότητος [β'. Κορινθ. ιά. 3.] καὶ τῆς ἀγνότητος ἀποπλανηθῶσιν ἀπὸ τῆς πανουργίας τῶν ἀνθρώπων, καὶ λοιπὸν ἐντυγχάνειν ἑτέροις ἄρξωνται, τοῖς λεγομένοις ἀποκρύφοις, ἀπατωμένοις τῇ ὁμωνυμίᾳ τῶν ἀληθινῶν βιβλίων, παρακαλῶ, ἀνέχεσθε, εἰ περὶ ὧν ἐπίστασθε, περὶ τούτων κἀγὼ μνημονεύων γράφω διὰ τὴν ἀνάγκην καὶ τὸ χρήσιμον τῆς Ἐκκλησίας. Μέλλων δὲ τούτων μνημονεύειν, χρήσομαι πρὸς σύστασιν τῆς ἐμαυτοῦ τόλμης τῷ τύπῳ τοῦ Εὐαγγελιστοῦ Λουκᾶ, λέγων καὶ αὐτός· «Ἐπειδὴ πέρ τινες ἐπεχείρησαν ἀνατάξασθαι [Λουκ. ά. 1.] ἑαυτοῖς τὰ λεγόμενα ἀπόκρυφα καὶ ἐπιμίξαι ταῦτα τῇ θεοπνεύστῳ Γραφῇ, περὶ ἧς ἐπληροφορήθημεν, καθὼς παρέδοσαν τοῖς Πατράσιν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ Λόγου, ἔδοξε κἀμοὶ προτραπέντι παρὰ γνησίων ἀδελφῶν, καὶ μαθόντι ἄνωθεν ἑξῆς ἐκθέσθαι τὰ κανονιζόμενα καὶ παραδοθέντα, πιστευθέντα τε θεῖα εἶναι βιβλία, ἵνα ἕκαστος, εἰ μὲν ἠπατήθη, καταγνῷ τῶν πλανησάντων, εἰ δὲ καθαρὸς διαμείνας, χαίρῃ πάλιν ὑπομιμνησκόμενος». Ἔστι τοίνυν τῆς μὲν παλαιᾶς Διαθήκης τῷ ἀριθμῷ τὰ πάντα βιβλία εἰκοσιδύω· τοσαῦτα γάρ, ὡς ἤκουσα, καὶ τὰ στοιχεῖα τὰ παρ' Ἑβραίοις εἶναι παραδέδοται. Τῇ δὲ τάξει καὶ τῷ ὀνόματί ἐστιν ἕκαστον οὕτω. Πρῶτον Γένεσις, εἶτα Ἔξοδος, εἶτα Λευϊτικὸν, καὶ μετὰ τοῦτο Ἀριθμοὶ, καὶ λοιπὸν τὸ Δευτερονόμιον.

ράσιος, ταῦτα ἐπὶ λέξεως εἰπών· «Οὐ περὶ παντὸς ἐπιστρέφοντος ἀποφαίνεται ὁ Πατὴρ μὴ δεχθῆναι, ἀλλὰ περὶ τῶν πρωτάρχων τῆς αἱρέσεως, καὶ τῶν ἐμπαθῶς ἐγκειμένων, καὶ ῥήμασι μὲν σχηματιζομένων τὴν ἀλήθειαν, περὶ δὲ τὸν νοῦν κακουργούντων . . . Ὅθεν μετὰ ταῦτα εἰπόντος πάλιν τοῦ Ταρασίου «Τὴν ἀκρόασιν ἐποιησάμεθα τῶν πατρικῶν ἐνταλμάτων. Τί οὖν, δεῖ δέχεσθαι τοὺς ἐξ αἱρετικῶν χειροτονηθέντας;» Ἡ ἁγία Σύνοδος εἶπε, ναί. Δέσποτα, ἠκροασάμεθα, καὶ δέον δέχεσθαι. Ὅρα καὶ τὸν ξή'. Ἀποστολικόν. Σημείωσαι ὅμως ὅτι οἱ εἰκονομάχοι οὗτοι καὶ πάντες οἱ ἄλλοι αἱρετικοὶ, τῶν ὁποίων τὰς χειροτονίας ἐδέχθη ποτὲ ἡ Ἐκκλησία, κατ' οἰκονομίαν καὶ συγκατάβασιν, καὶ ὄχι κατὰ ἀκρίβειαν, οὗτοι, λέγω, ἦσαν ὀρθῶς καὶ κατὰ τὸν τύπον τῆς ὀρθοδόξου Ἐκκλησίας βεβαπτισμένοι. Διὸ καὶ ἡ Ἐκκλησία, καθὼς ἐδέχθη τὸ βάπτισμα αὐτῶν, οὕτως ἀκολούθως ἐδέχθη καὶ τὰς αὐτῶν χειροτονίας, οἱ δὲ Λατῖνοι καὶ οἱ ἐξ αὐτῶν, καὶ ὅσοι ἄλλοι τοιοῦτοι, δὲν εἶναι ὀρθῶς βεβαπτισμένοι. Ὅθεν καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία, καθὼς δὲν δέχεται τὸ βάπτισμα αὐτῶν, ὅπερ ἐστὶ πρῶτον τῶν Μυστηρίων, πολλῷ μᾶλλον δὲν δέχεται τὰς χειροτονίας αὐτῶν. Διὰ τοῦτο χρεία εἶναι αὐτοὶ καὶ νὰ βαπτισθοῦν καὶ νὰ χειροτονηθοῦν ἀπὸ ὀρθοδόξους Ἱερεῖς καὶ Ἀρχιερεῖς.

Ἕξῆς δὲ τούτων ἐστὶν, Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ Κριταὶ, καὶ μετὰ τοῦτο ἡ Ῥούθ. Καὶ αὖθις ἑξῆς· Βασιλειῶν βιβλία τέσσαρα· καὶ τούτων, τὸ μὲν Πρῶτον καὶ Δεύτερον εἰς ἓν βιβλίον ἀριθμεῖται, τὸ δὲ Τρίτον καὶ Τέταρτον, ὁμοίως εἰς ἕν. Μετὰ δὲ ταῦτα Παραλειπομένων πρῶτον καὶ δεύτερον, ὁμοίως ἐν βιβλίον ἀριθμούμενα. Εἶτα Ἔσδρα πρῶτον καὶ δεύτερον, ὁμοίως ἕν. Μετὰ δὲ ταῦτα βίβλος Ψαλμῶν καὶ ἑξῆς Παροιμίαι. Εἶτα Ἐκκλησιαστὴς καὶ Ἆσμα Ἀσμάτων. Πρὸς τούτοις ἐστὶ καὶ Ἰώβ. Καὶ λοιπὸν, Προφῆται, οἱ μὲν δώδεκα εἰς ἓν βιβλίον ἀριθμούμενοι· εἶτα Ἡσαΐας καὶ Ἱερεμίας, καὶ σὺν αὐτῷ Βαροὺχ, Θρῆνοι, καὶ Ἐπιστολὴ, καὶ μετ' αὐτῶν Ἰεζεκιὴλ, καὶ Δανιήλ. Ἄχρι τούτων τὰ τῆς Παλαιᾶς Διαθήκης ἵσταται. Τὰ δὲ τῆς Καινῆς πάλιν οὐκ ὀκνητέον εἰπεῖν· ἔστι δὲ ταῦτα, Εὐαγγέλια τέσσαρα, κατὰ Ματθαῖον, κατὰ Μάρκον, κατὰ Λουκᾶν καὶ κατὰ Ἰωάννην (1)· εἶτα καὶ μετὰ ταῦτα, Πράξεις τῶν Ἀποστόλων καὶ Ἐπιστολαὶ καθολικαὶ καλούμεναι τῶν Ἀποστόλων ἑπτὰ, οὕτως· Ἰακώβου μία, Πέτρου δύο· εἶτα Ἰωάννου τρεῖς, καὶ Ἰούδα μία. Πρὸς τούτοις Παύλου Ἀποστόλου εἰσὶν Ἐπιστολαὶ δεκατέσσαρες, τῇ τάξει γραφόμεναι οὕτως· Πρώτη πρὸς Ρωμαίους, εἶτα πρὸς Κορινθίους δύο, καὶ μετὰ ταύτας πρὸς Γαλάτας καὶ ἑξῆς πρὸς Ἐφεσίους, εἶτα πρὸς Φιλιππησίους, καὶ πρὸς Κολασσαεῖς καὶ πρὸς Θεσσαλονικεῖς δύο. Καὶ ἡ πρὸς Ἑβραίους καὶ ἑξῆς, πρὸς μὲν Τιμόθεον δύο, πρὸς δὲ Τίτον μία, καὶ τελευταία, ἡ πρὸς Φιλήμονα μία (2)· καὶ πάλιν Ἰωάννου Ἀποκάλυψις. Ταῦτα πηγαὶ τοῦ σωτηρίου, ὥστε τὸν διψῶντα, ἐμφορεῖσθαι τῶν ἐν τούτοις λογίων. Ἐν τούτοις μόνοις τὸ τῆς εὐσεβείας διδασκαλεῖον εὐαγγελίζεται. Μηδεὶς τούτοις ἐπιβαλλέτω, μηδὲ τούτων ἀφαιρείσθω τι. Περὶ τούτων Σαδδουκαίους ὁ Κύριος ἐδυσώπει λέγων· «Πλανᾶσθε, μὴ εἰδότες τὰς Γραφὰς, μηδὲ τὰς δυνάμεις αὐτῶν». Τοῖς δὲ Ἰουδαίοις παρήνει, «ἐρευνᾶτε τὰς Γραφὰς, ὅτι αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ» [Ματθ. κβ'. 29. Μάρ. ιϐ'. 24, Ἰωάν. ε. 31.] Ἀλλ' ἕνεκά γε πλείονος ἀκριβείας προστίθημι καὶ τοῦτο, γράφων ἀναγκαίως, ὡς ἔστι καὶ ἕτερα βιβλία τούτων ἔξωθεν, μὴ κανονιζόμενα μὲν, τετυπωμένα δὲ παρὰ τῶν Πατέρων ἀναγινώσκεσθαι τοῖς ἄρτι προσερχομένοις, καὶ βουλομένοις κατηχεῖσθαι τὸν τῆς εὐσεβείας λόγον, Σοφία Σολομῶντος, Σοφία Σειρὰχ, καὶ Ἐσθὴρ, καὶ Ἰουδὴθ, καὶ Τωβίας, καὶ διδαχὴ καλουμένη τῶν Ἀποστόλων (3) καὶ ὁ Ποιμὴν (4). Καὶ ὅμως, ἀγαπητοὶ, κἀκείνων ἀναγινωσκομένων καὶ τούτων κανονιζομένων, οὐδαμοῦ τῶν ἀποκρύφων μνήμη, ἀλλὰ αἱρετικῶν ἐστιν ἐπίνοια, γραφόντων μὲν ὅτι θέλουσιν αὐτὰ, χαριζομένων δὲ καὶ προστιθέντων αὐτοῖς χρόνους, ἵνα ὡς παλαιὰ προφέροντες, πρόφασιν ἔχωσιν ἀπαντᾶν ἐκ τούτων τοὺς ἀκεραίους.

Ἑρμηνεία.

Εἰς τρία διαιρεῖ ὁ Ἅγιος τὰ Βιβλία ἐν τῇ Ἐπιστολῇ ταύτῃ, εἰς ἀπόκρυφα, εἰς κανονιζόμενα καὶ εἰς ἀναγινωσκόμενα. Καὶ ἀπόκρυφα μὲν ὀνομάζει τὰ ἀπατηλὰ καὶ νόθα, τὰ ὁποῖα γράφοντες οἱ αἱρετικοὶ καὶ λέγοντες ὅτι εἶναι παλαιὰ καὶ τῆς θείας Γραφῆς, μὲ τοῦτο ἐπλάνουν τοὺς ἁπλουστέρους ὅτι εἶναι γνήσια καὶ καλά. Κανονιζόμενα δὲ, τὰ τῆς παλαιᾶς καὶ νέας Γραφῆς, τὰ ὁποῖα ὀνομαστὶ ἀριθμεῖ. Ἀναγινωσκόμενα δὲ, τὰ ὄντα μὲν ἔξω ἀπὸ τὰ κανονιζόμενα, οὐκ ἀπόκρυφα δὲ, ἀλλὰ εἰς τοὺς κατηχουμένους διωρισμένα ἀπὸ τοὺς Πατέρας νὰ ἀναγινώσκωνται, τὰ ὁποῖα καὶ αὐτὰ καθ' ἕνα ἀπαριθμεῖ. Λέγει δὲ ὁ Ἅγιος, ὅτι ἠναγκάσθη νὰ φανερώσῃ χωριστὰ τὰ βιβλία ταῦτα, ἵνα, ἀνίσως μέν τινας ἐπλανήθη καὶ ἐδέχθη τὰ ἀπόκρυφα ταῦτα καὶ αἱρετικὰ, διορθωθῇ καὶ ἀπορρίψῃ αὐτὰ, εἰ δὲ δὲν τὰ ἐδέχθη, χαρῇ, λαμβάνωντας πληροφορίαν περὶ τούτων περισσοτέραν. Μεταχειρίζεται δὲ ὁ Ἅγιος προσφυῶς «εἰς τὴν ὑπόθεσιν ταύτην τὴν ἀρχὴν τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου, καὶ

(1) Ἐπειδὴ πολλοὶ, βλέποντες τοὺς θείους Πατέρας ἑρμηνευτὰς τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου, πῶς δὲν ἑρμηνεύουν, οὔτε ὅλως ἀναφέρουν τὴν εἰς τὸ ὄγδοον Κεφάλαιον γεγραμμένην ἱστορίαν τῆς ἐπ' αὐτοφώρῳ μοιχευθείσης γυναικὸς, ἀποροῦσι περὶ τούτου ἢ καὶ λέγουν. ὅτι εἶναι νόθος ἡ ἱστορία αὕτη, διὰ τοῦτο ἡμεῖς, χάριν τῆς ἀληθείας καὶ τῆς τῶν φιλομαθῶν πληροφορίας, ἐρευνήσαντες εὕρομεν ταῦτα περὶ τῆς ἱστορίας ταύτης, ἃ καὶ σημειοῦμεν ἐνταῦθα, λέγοντες· Ὅτι τὴν ἱστορίαν ταύτην ἀναφέρουν οἱ θεῖοι Ἀπόστολοι ἐν ταῖς διαταγαῖς βιβλ. ϛ'. Κεφ. κδ'. καὶ ὁ Παμφίλου Εὐσέβιος Ἐκκλ. ἱστορ. βιβλ. γ'. Κεφ. λϑ'. καὶ βιβλ. δ'. Κεφ. ιδ'. ἐν οἷς τὰ περὶ τοῦ Παπίου Ἱεραπόλεως ἱστορῶν λέγει οὕτω· «Κέχρηται μαρτυρίαις ἀπὸ τῆς Ἰωάννου προτέρας ἐπιστολῆς, καὶ ἀπὸ τῆς Πέτρου ὁμοίως. Ἐκτέθειται δὲ καὶ ἄλλην ἱστορίαν περὶ γυναικὸς ἐπὶ πολλαῖς ἁμαρτίαις διαβληθείσης ἐπὶ τοῦ Κυρίου, ἣν τὸ καθ' Ἑβραίους Εὐαγγέλιον (ἴσως δὲ τοῦτό ἐστι τὸ κατὰ Ματθαῖον, ὅπερ ἑβραϊστὶ συνεγράφη, ἀλλὰ τὸ νῦν μεταφρασμένον ταύτην οὐκ ἔχει) περιέχει». Μέμνηται δὲ τῆς ἱστορίας ταύτης καὶ ὁ μέγας οὗτος Ἀθανάσιος ἐν τῇ κεφαλαιώδει συνόψει τῶν τῆς Γραφῆς βιβλίων. Φησὶ γὰρ τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ, «Γενόμενος Πάλιν ὁ Ἰησοῦς διαλέγεται αὐτοῖς (τοῖς Ἰουδαίοις δηλ.) καὶ ἐπειρῶντο ἀνατρέπειν αὐτοῦ τὰ ῥήματα.» Ἐνταῦθα τὰ περὶ τῆς κατηγορηθείσης ἐπὶ μοιχείᾳ· ταύτην τὴν ἱστορίαν περιέχουσι καὶ πολλὰ Τετραευαγγέλια, μεμβράϊνα χειρόγραφα σωζόμενα ἐν ταῖς Ἱεραῖς Μοναῖς τοῦ Ἁγίου Ὄρους, γεγραμμένα πρὸ ὀκτακοσίων χρόνων καὶ ἐπέκεινα. Φαίνεται δὲ ὅτι ἐξ ἀγράφου παραδόσεως ἐπεισήχθη τῷ θείῳ Εὐαγγελίῳ ἡ ἱστορία αὕτη. Παραδόσεως δὲ, λέγω, Ἀποστολικῆς. Φησὶ γὰρ ὁ Ἴδιος Ἰωάννης· «Ἔστι δὲ καὶ ἄλλα ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ» (Ἰω. κ'. 30. κά. 25.).

(2) Νῦν δὲ, τελευταία εἶναι ἡ πρὸς Ἑβραίους.

(3) Διδαχὴν τῶν Ἀποστόλων ὀνομάζει τὰς διαταγὰς τῶν Ἀποστόλων.

(4) Περὶ τοῦ Ποιμένος εἴπομεν εἰς τὸν πε'. Ἀποστολ. ἐν ταῖς ὑποσημ. τοῦτο μόνον προσθέτοντες ἐδῶ, ὅτι τὸ βιβλίον τοῦτο συνέγραψεν, ὡς λέγουσί τινες, ὁ Ἀπόστολος Ἑρμᾶς, ὃν ὁ Παῦλος ἀσπάζεται ἐν τῇ πρὸς Ρωμαίους ἐπιστ. Λέγει δὲ ὁ θεῖος Ἱερώνυμος, ὅτι τὸ βιβλίον τοῦ Ποιμένος εἶναι ὠφελιμώτατον καὶ ἀναγκαιότατον (παρὰ Μελετίῳ Ἀθηνῶν, ἐκκλ. ἱστορ. τόμ. ά. σελ. 172).

ἀπαριθμῶν τὰ εἰρημένα κανονιζόμενα καὶ ἀναγινωσκόμενα βιβλία, καὶ παρακινῶν τὸν καθ' ἕνα νὰ ἐρευνᾷ ταῦτα, καθὼς εἶπεν εἰς τοὺς Ἰουδαίους ὁ Κύριος, τελειόνει τὴν Ἐπιστολήν. Ὅρα καὶ τὸν πέ. Ἀποστολικόν.

ΠΕΡΙ ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ

ΠΡΟΛΕΓΟΜΕΝΑ

Ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Βασίλειος, ἐκ τῆς Καισαρείας ἕλκων τὸ γένος, τῆς ἐν τῇ κατὰ τὸν Πόντον μερίδι τῆς Καππαδοκίας κειμένης, ἥτις καὶ Μάζακα πάλαι ὠνομάζετο, ἐγεννήθη μὲν ἐν ἔτει 329 (1), ἐν δὲ τῷ 364 ἔτει ὑπὸ Εὐσεβίου Καισαρείας εἰς τὸν τοῦ Πρεσβυτέρου βαθμὸν ἀνάγεται (2). Καὶ μετ' ὀλίγον, διδοὺς χώραν εἰς τὸν φθόνον τοῦ Εὐσεβίου, πρὸς τὸν Πόντον ἀναχωρεῖ, τραβίξας μὲ λόγου του καὶ τὸν ὁμόψυχον αὐτῷ θεῖον Γρηγόριον τὸν Ναζιανζηνόν (3). Τοῖς ἐκεῖσε δὲ Μοναστηρίοις ἐπιστατήσας, καὶ Ὅρους καὶ Κανόνας εἰς αὐτοὺς ἐκθέμενος, τὴν ἔρημον ἀσπάζεται, ἀπὸ τὸν πόθον τῆς τελειοτέρας ἡσυχίας δικαιούμενος. Ἐν ἔτει δὲ 365 (4), μαθὼν ὅτι ἡ ἐπὶ τοῦ Οὐάλεντος τοῦ Ἀρείου αἵρεσις ἔμελλε νὰ ἐμφιλοχωρήσῃ καὶ εἰς τὴν Καππαδοκίαν, παρευθεὶς ἐπαναγυρίζει καὶ δίδει τὸν ἑαυτόν του εἰς τὴν μητέρα του Ἐκκλησίαν, καὶ φιλιόνεται μὲ τὸν Εὐσέβιον, καὶ βοηθεῖ εἰς τὴν ὀρθοδοξίαν γενναιότατα (5). Μετὰ δὲ τὸν θάνατον τοῦ Εὐσεβίου ἐν ἔτει 370 (6), Ἐπίσκοπος τῆς Καισαρείας γεγονὼς, ἀνδρείως μὲν τὰς τότε αἱρέσεις κατεπολέμησε, παραστὰς δὲ εἰς τὸν ἔπαρχον Μόδεστον, ὅστις ἐπεχείρει μὲ κάθε λογῆς τρόπον νὰ μεταπαλεύσῃ αὐτὸν ἀπὸ τὴν εὐσέβειαν, ταῦτα τὰ ἀξιομνημόνευτα λόγια πρὸς αὐτὸν ἀνδρειοφρόνως ἀνεβόησεν· «Ἐγὼ, ὁ αὐτός σοι καὶ πρότερον ἦζω· σὺ δὲ μὴ μεταβάλῃς τὴν γνώμην, ἀλλὰ χρῆσαι ταῖς ἀπειλαῖς» (7). Εἰς ὀκτὼ δὲ ἔτη (8) ποιμάνας τὸ ἑαυτοῦ ποίμνιον, μετέστη πρὸς Κύριον. Κοντὰ δὲ εἰς τὰ ἄλλα αὐτοῦ συγγράμματα, τὰ κατὰ τὸ 1730 ἔτος ἐν Παρισίοις ἐκδοθέντα, καὶ τὰς κανονικὰς ταύτας ἐπιστολὰς κατέλιπεν εἰς ἡμᾶς ὁ πανεύφημος, ἀναγκαίας οὔσας εἰς τὴν τῆς Ἐκκλησίας εὐταξίαν καὶ κατάστασιν, αἵτινες ἐπικυροῦνται, ἀορίστως μὲν ἀπὸ τὸν ά. τῆς δ'. καὶ τὸν ά. τῆς ζ'. ὡρισμένως δὲ ἀπὸ τὸν β'. τῆς Οἰκουμενικῆς ς'. (ἥτις καὶ πολλοὺς Κανόνας τοῦ Βασιλείου δανειζομένη, ἰδίους αὐτῆς ποιεῖ), καὶ διὰ τῆς ἐπικυρώσεως ταύτης, Οἰκουμενικὴν τρόπον τινὰ ἀναλμβάνουσι δύναμιν. Εὑρίσκονται δὲ ἐν τῷ β'. τόμῳ τῶν Πανδέκτων, καὶ σελ. 335 τοῦ ά τόμ. τῶν Συνοδικῶν (9).

Αἱ Κανονικαὶ Ἐπιστολαὶ, ἤτοι οἱ ιβ'. Κανόνες τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου τοῦ μεγάλου ἑρμηνευόμενοι.

«Τῆς πρὸς Ἀμφιλόχιον Κανονικῆς ά. αὐτοῦ Ἐπιστολῆς, διηρημένης εἰς Κανόνας ις'.

Προοίμιον.

«Ἀνοήτῳ, φησὶν, ἐπερωτήσαντι σοφίαν, σοφία λογισθήσεται. Σοφοῦ δὲ (ὡς ἔοικεν) ἐπερώτημα καὶ τὸν ἀνόητον σορίζει,» [Παροιμ. ιζ'. 28.] ὅπερ τῇ τοῦ Θεοῦ χάριτι συμβαίνει ἡμῖν, ὁσάκις ἄν σου δεξώμεθα τῆς

(1) Ὁ Γαρνέρος εἰς τὸν βίον τοῦ Βασιλ. τὸν ἐν τῷ γ'. τόμῳ τῶν τοῦ Ἁγίου συγγραμμάτων (ἐν τῇ 60. σελ. τοῦ 8. τεύχ.) λέγει ὅτι ἐγεννήθη κατὰ τὸ 316 ἔτος, ὁ δὲ Οὐουδῖνος (ἐν τῇ 543 σελ. τοῦ ά. τόμ. περὶ τῶν Ἐκκλ. συγγραφ.). κατὰ τὸ 328.

(2) Ὁ Γαρνέρος αὐτόθι σελ. 66.

(3) Ὁ δὲ Σωκράτης (βιβλ. δ'. Κεφ. 26) λέγει, ὅτι ἐχειροτονήθη Διάκονος ἀπὸ τὸν Ἀντιοχείας Μελέτιον.

(4) Ὁ Γαρνέρος αὐτόθ. σελ. 68.

(5) Ὁ Θεολόγος εἰς τὸν ἐπιτάφ. καὶ ὁ Νικηφόρος Κάλλιστος βιβλ. ιά. Κεφ. 18.

(6) Ὁ Γαρνέρος αὐτόθ. καὶ ὁ Φαβρίκιος.

(7) Ὁ Θεοδώρητος βιβλ. δ'. Κεφ. 19. τῆς Ἱστορίας.

(8) Ὁ Θεολόγος ἐν τῷ ἐπιγράμματι· Ὀκταετῆ λαοῖο Θεόφρονος ἡνία τείνας. Ὥστε ἅπαντα τὰ ἔτη τῆς ζωῆς αὐτοῦ εἶναι 49, καὶ οὐχὶ 45, ὡς γράφει ὁ βίος αὐτοῦ. Ἀφίνω νὰ λέγω ὅτι κατὰ μὲν τὸν Γαρνέρον ἔζησεν ἔτη 62, κατὰ δὲ τὸν Οὐουδῖνον ἔτη 50.

(9) Περὶ δὲ τῆς φράσεως αὐτοῦ ταῦτα φησὶ Φώτιος (ἐν Κώδ. 141.)· «Ἄριστος δὲ ἐν πᾶσι τοῖς ἑαυτοῦ λόγοις ὁ Μέγας Βασίλειος. Λέξει τε γὰρ καθαρᾷ καὶ εὐσήμῳ, καὶ κυρίᾳ, καὶ ὅλως πολιτικῇ καὶ πανηγυρικῇ δεινὸς, εἴ τις ἄλλος χρήσασθαι, νοημάτων τε τάξει καὶ καθαρότητι πρῶτος, ἀλλ' οὐδενὸς δεύτερος. Πιθανότητος δὲ καὶ γλυκύτητος, καί γε λαμπρότητος ἐραστὴς, καὶ ῥέων τῷ λόγῳ, καὶ ὥσπερ ἐξ αὐτοσχεδίου πηγάζων τὸ ῥεῖθρον. Καὶ τῷ πιθανῷ δὲ ἐπὶ τοσοῦτον ἦκεν ἀποχεχρημένος. ὡς, εἴ τις πολιτικοῦ λόγου τοὺς αὐτοῦ λόγους παράδειγμα ἑαυτῷ θείη, ἔπειτα τούτους ἐκμελετήσῃ, μηδὲ τῶν εἰς τοῦτο συντελούντων, ὀνλονότι νόμων, ἄπειρος ὑπάρχων, οὐδενὸς αὐτὸν ἑτέρου δεήσεσθαι, οἶμαι, οὔτε Πλάτωνος, οὔτε Δημοσθένους.» Τὸν θεῖον τοῦτον Βασίλειον ἡ ζ'. Σύνοδος (πράξ. ς'.) «Μέγαν ἐν ἔργῳ καὶ λόγῳ ἐκάλεσεν.» Ὁ δὲ Ἰσίδωρος ὁ Πηλουσιώτης ἐν τῇ ξα'. αὐτοῦ ἐπιστολῇ λέγει περὶ αὐτοῦ «τοῦ θεοπνεύστου Πατρὸς ἡμῶν Βασιλείου».

φιλοπόνου ψυχῆς τὰ γράμματα. Ἐπιστατικώτεροι γὰρ ἑκυτῶν καὶ οἷον ἐμφρονέστεροι γινόμεθα ἀπ' αὐτῆς τῆς ἐρωτήσεως, πολλὰ ὧν οὐκ ἐπιστάμεθα, διδασκόμενοι, καὶ γίνεται ἡμῶν διδάσκαλος ἡ περὶ τὸ ἀποκρίνασθαι μέριμνα. Ἀμέλει καὶ νῦν, οὐδέποτε λαβόντες ἐν φροντίδι τὰ ἐπερωτήματά σου, ἠναγκάσθημεν καὶ ἐπισκέψασθαι ἀκριβῶς καὶ εἴτι τε ἠκούσαμεν παρὰ τῶν Πρεσβυτέρων, ἀναμνησθῆναι καὶ τὰ συγγενῆ ὧν ἐδιδάχθημεν παρ' ἑαυτῶν ἐπιλογίσασθαι.

Ἑρμηνεία.

Ἀπὸ πολλὴν ταπεινοφροσύνην εἶναι γεμάτον τὸ προοίμιον τῆς παρούσης Ἐπιστολῆς. Ἀρχινῶντας γὰρ ὁ μέγας Βασίλειος ἀπὸ τὸ ρητὸν τοῦ Παροιμιαστοῦ, ὁποῦ λέγει, ὅτι θέλει νομισθῇ σοφὸς ὁ ἀνόητος, ἐὰν ἐρωτήσῃ σοφὰ πράγματα· ἀντιστρόφως ἐπιφέρει, ὅτι καὶ τοῦ σοφοῦ ἡ ἐρώτησις σοφίζει καὶ τὸν ἀνόητον· διὰ τοῦ ὁποίου σοφὸν μὲν ἐννοεῖ τὸν ἅγιον Ἀμφιλόχιον ὁποῦ τὸν ἠρώτησεν, ἀνόητον δὲ καὶ σοφιζόμενον τὸν ἑκυτόν του. Λέγει δὲ ἀκολούθως καὶ τὸν τρόπον, μὲ τὸν ὁποῖον σοφίζεται. Προτοῦ γὰρ νὰ ἐρωτηθῇ, φησὶ, μὴ φροντίζων περὶ τῶν ἐρωτημάτων, μετὰ τὴν ἐρώτησιν, προσεκτικώτερος ἔγινεν, ἐνθυμηθεὶς μὲν ὅσα παρὰ τῶν ἀρχαιοτέρων ἤκουσε, στοχασθεὶς δὲ καὶ ἀπὸ λόγου του ὅσα ἦσαν εἰς τὰ παλαιὰ ἐκεῖνα σύμφωνα καὶ ἀκόλουθα.

ΚΑΝΩΝ Α'.

Ἀπος. μς'. τῆς ἁ. ἡ τῆς β'. ζ'. τῆς ς'. ἡέ. τῆς ἐν Λαοδ. ζ'.

«Τὸ μὲν οὖν περὶ τοὺς Καθαροὺς ζήτημα, καὶ εἴρηται πρότερον καὶ καλῶς ἀπεμνημόνευσας, ὅτι δεῖ τῷ ἔθει τῶν καθ' ἑκάστην χώραν ἕπεσθαι, διὰ τὸ διαφόρως ἐνεχθῆναι περὶ τοῦ βαπτίσματος αὐτῶν, τοὺς τότε περὶ τούτων διαλαβόντας, τὸ δὲ τῶν Πεπουζηνῶν οὐδένα μοι λόγον ἔχει δοκεῖ, καὶ ἐθαύμασα πῶς κανονικὸν ὄντα τὸν μέγαν Διονύσιον, παρῆλθεν· ἐκεῖνο γὰρ ἔκριναν οἱ παλαιοὶ δέχεσθαι βάπτισμα, τὸ μηδὲν τῆς πίστεως παρεκβαῖνον. Ὅθεν τὰ μὲν, αἱρέσεις ὠνόμασαν, τὰ δὲ, σχίσματα, τὰ δὲ, παρασυναγωγάς. Αἱρέσεις μὲν, τοὺς παντελῶς ἀπερρηγμένους καὶ κατ' αὐτὴν τὴν πίστιν ἀπηλλοτριωμένους, Σχίσματα δὲ, τοὺς δι' αἰτίας τινὰς ἐκκλησιαστικὰς καὶ ζητήματα ἰάσιμα πρὸς ἀλλήλους διενεχθέντας, Παρασυναγωγὰς δὲ, τὰς συνάξεις, τὰς παρὰ τῶν ἀνυποτάκτων Πρεσβυτέρων ἢ Ἐπισκόπων, καὶ παρὰ τῶν ἀπαιδεύτων λαῶν γινομένας. Οἷον, εἴ τις ἐν πταίσματι ἐξετασθείς, ἀπεσχέθη τῆς λειτουργίας καὶ μὴ ὑπέκυψε τοῖς Κανόσιν, ἀλλ' ἑαυτῷ ἐξεδίκησε τὴν προεδρίαν καὶ τὴν λειτουργίαν καὶ συναπῆλθον τούτῳ τινὲς, καταλιπόντες τὴν καθολικὴν Ἐκκλησίαν, Παρασυναγωγὴ τὸ τοιοῦτον. Σχίσμα δὲ, τὸ περὶ μετανοίας διαφόρως ἔχειν πρὸς τοὺς ἀπὸ τῆς Ἐκκλησίας, Αἱρέσεις δὲ, οἷον τῶν Μανιχαίων καὶ Οὐαλεντίνων καὶ Μαρκιωνιστῶν, καὶ αὐτῶν τούτων τῶν Πεπουζηνῶν· εὐθὺς γὰρ περὶ αὐτῆς τῆς εἰς Θεὸν πίστεώς ἐστιν ἡ διαφορά. Ἔδοξε τοίνυν τοῖς ἐξ ἀρχῆς, τὸ μὲν τῶν αἱρετικῶν, παντελῶς ἀθετῆσαι, τὸ δὲ τῶν ἀποσχισθέντων, ὡς ἔτι ἐκ τῆς Ἐκκλησίας ὄντων, παραδέξασθαι, τοὺς δὲ ἐν ταῖς Παρασυναγωγαῖς, μετανοίᾳ ἀξιολόγῳ καὶ ἐπιστροφῇ βελτιωθέντας, συνάπτεσθαι πάλιν τῇ Ἐκκλησίᾳ, ὥστε πολλάκις καὶ τοὺς ἐν βαθμῷ συναπελθόντας τοῖς ἀνυποτάκτοις, ἐπειδὰν μεταμεληθῶσιν, εἰς τὴν αὐτὴν παραδέχεσθαι τάξιν. Οἱ τοίνυν Πεπουζηνοὶ, προδήλως εἰσὶν αἱρετικοί· εἰς γὰρ τὸ Πνεῦμα τὸ ἅγιον ἐβλασφήμησαν, Μοντανῷ καὶ Πρισκίλλῃ τὴν τοῦ Παρακλήτου προσηγορίαν ἀθεμίτως καὶ ἀναισχύντως ἐπιφημίσαντες, εἴτε οὖν ὡς ἀνθρώπους θεοποιοῦντες, κατάκριτοι, εἴτε ὡς τὸ Πνεῦμα τὸ Ἅγιον τῇ πρὸς ἀνθρώπους συγκρίσει καθυβρίσαντες, καὶ οὕτω τῇ αἰωνίῳ καταδίκῃ ὑπεύθυνοι, διὰ τὸ ἀσυγχώρητον εἶναι τὴν εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημίαν. [Ματθ. ιϐ'. 31.] Τίνα οὖν λόγον ἔχει τὸ τούτων βάπτισμα ἐγκριθῆναι, τῶν βαπτιζόντων εἰς Πατέρα καὶ Υἱὸν καὶ Μοντανὸν καὶ Πρίσκιλλαν; Οὐ γὰρ ἐβαπτίσθησαν, οἱ εἰς τὰ μὴ παραδεδομένα ἡμῖν βαπτισθέντες, ὥστε, εἰ καὶ τὸν μέγαν Διονύσιον τοῦτο παρέλαθεν, ἀλλ' ἡμῖν οὐ φυλακτέον τὴν μίμησιν τοῦ σφάλματος. Τὸ γὰρ ἄτοπον αὐτόθεν πρόδηλον καὶ πᾶσιν ἐναργὲς, οἷς τι καὶ μικρὸν τοῦ λογίζεσθαι μέτεστιν. Οἱ Καθαροὶ καὶ αὐτοὶ τῶν ἀπεσχισμένων εἰσί· πλὴν ἀλλ' ἔδοξε τοῖς ἀρχαίοις, τοῖς περὶ Κυπριανὸν λέγω καὶ Φιρμιλιανὸν τὸν ἡμέτερον, τούτοις πάντας μιᾷ ψήφῳ ὑποβαλεῖν, Καθαροὺς καὶ Ἐγκρατίτας καὶ Ὑδροπαραστάτας καὶ Ἀποτακτίτας· διότι ἡ μὲν ἀρχὴ τοῦ χωρισμοῦ διὰ σχίσματος γέγονεν· οἱ δὲ τῆς Ἐκκλησίας ἀποστάντες, οὐκ ἔτι ἔσχον τὴν χάριν τοῦ ἁγίου πνεύματος ἐφ' ἑαυτούς· ἐπέλιπε γὰρ ἡ μετάδοσις τῷ διακοπῆναι τὴν ἀκολουθίαν. Οἱ μὲν γὰρ πρῶτοι ἀναχωρήσαντες, παρὰ τῶν Πατέρων ἔσχον τὰς χειροτονίας, καὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν αὐτῶν, εἶχον τὸ χάρισμα τὸ πνευματικὸν, οἱ δὲ ἀπορραγέντες, λαϊκοὶ γενόμενοι, οὔτε τοῦ βαπτίζειν, οὔτε τοῦ χειροτονεῖν εἶχον ἐξουσίαν, οὔτε ἠδύναντο χάριν Πνεύματος ἁγίου ἑτέροις παρέχειν, ἧς αὐτοὶ ἐκπεπτώκασι· διὸ ὡς παρὰ λαϊκῶν βαπτιζομένους τοὺς παρ' αὐτῶν ἐκέλευσαν, ἐρχομένους ἐπὶ τὴν Ἐκκλησίαν, τῷ ἀληθινῷ βαπτίσματι τῷ τῆς Ἐκκλησίας ἀνακαθαίρεσθαι. Ἐπειδὴ δὲ ὅλως ἔδοξέ τισι τῶν κατὰ τὴν Ἀσίαν, οἰκονομίας ἕνεκα τῶν πολλῶν, δεχθῆναι αὐτῶν τὸ βάπτισμα, ἔστω δεκτόν. Τὸ δὲ τῶν Ἐγκρατιτῶν κακούργημα νοῆσαι ἡμᾶς δεῖ, ὅτι ἵνα αὐτοὺς ἀπροσδέκτους ποιή-

σωσι τῇ Ἐκκλησίᾳ, ἐπεχείρησαν λοιπὸν, ἰδίῳ προκαταλαμβάνειν βαπτίσματι, ὅθεν καὶ τὴν συνήθειαν τὴν ἑαυτῶν παρεχάραξαν. Νομίζω τοίνυν, ὅτι ἐπειδὴ οὐδέν ἐστι περὶ αὐτῶν φανερῶς διηγορευμένον, ἡμᾶς προσῆκεν ἀθετεῖν αὐτῶν τὸ βάπτισμα, κἂν τις ᾖ παρ' αὐτῶν εἰληφὼς, προσιόντα τῇ Ἐκκλησίᾳ βαπτίζειν. Ἐὰν μέντοι μέλλῃ τῇ καθόλου οἰκονομίᾳ ἐμπόδιον ἔσεσθαι τοῦτο, πάλιν τῷ ἔθει χρηστέον καὶ τοῖς οἰκονομήσασι τὰ καθ' ἡμᾶς Πατράσιν ἀκολουθητέον· ὑροῤῶμαι γὰρ μήποτε, ὡς βουλόμεθα ὀκνηροὺς αὐτοὺς περὶ τὸ βαπτίζειν ποιῆσαι, ἐμποδίσωμεν τοῖς σῳζομένοις διὰ τὸ τῆς προτάσεως (1) αὐστηρόν. Εἰ δὲ ἐκεῖνοι φυλάττουσι τὸ ἡμέτερερον βάπτισμα, τοῦτο ἡμᾶς μὴ δυσωπείτω· οὐ γὰρ ἀντιδιδόναι αὐτοῖς ὑπεύθυνοι χάριν ἐσμὲν, ἀλλὰ δουλεύειν ἀκριβείᾳ Κανόνων. Παντὶ δὲ λόγῳ τυπωθήτω, τοὺς ἐπὶ τὸν βαπτισμὸν ἐκείνων προσερχομένους χρίεσθαι ὑπὸ πιστῶν δηλαδὴ, καὶ οὕτω προσιέναι τοῖς Μυστηρίοις. Οἶδα δὲ ὅτι τοὺς ἀδελφοὺς τοὺς περὶ Ζώνιον (2) καὶ Σατορνῖνον, ἀπ' ἐκείνης ὄντας τῆς τάξεως προσεδεξάμεθα εἰς τὴν καθέδραν τῶν Ἐπισκόπων. Ὥστε τοὺς τῷ τάγματι ἐκείνων συνημμένους οὐκ ἔτι δυνάμεθα διακρίνειν ἀπὸ τῆς Ἐκκλησίας, οἷον Κανόνα τινὰ τῆς πρὸς αὐτοὺς κοινωνίας ἐκθέμενοι, διὰ τῆς τῶν Ἐπισκόπων παραδοχῆς».

Ἑρμηνεία.

Ἀφ' οὗ ἐπροοιμίασεν ὁ Ἅγιος, ἀκολούθως ἀποκρίνεται πρὸς ἐκεῖνα, ὁποῦ ὁ Ἀμφιλόχιος τὸν ἠρώτησε. Μέλλωντας δὲ νὰ εἴπῃ διὰ τὸ βάπτισμα τῶν σχισματιστῶν Καθαρῶν, ἤτοι Ναυατιανῶν καὶ τῶν αἱρετικῶν Πεπουζηνῶν (περὶ ὧν ὅρα τὰς ὑποσημ. τοῦ ζ'. τῆς β'.), ἤτοι Μοντανιστῶν, ἀναβατικώτερον, καθολικώτερον, ποιεῖ τὸν λόγον, καὶ τὴν τῶν παλαιῶν ἐκείνην ἀναφέρει διαίρεσιν, καθ' ἣν ἄλλοι μὲν λέγονται Αἱρετικοὶ, ἄλλοι δὲ Σχισματικοὶ, καὶ ἄλλοι Παρασυνάγωγοι. Καὶ Παρασυνάγωγοι μὲν εἶναι οἱ ἀνυπότακτοι Πρεσβύτεροι καὶ Ἐπίσκοποι ἐκεῖνοι, οἵτινες μὲ τὸ νὰ ἔπεσαν εἰς σφάλματα, καθῃρέθησαν μὲν ἀπὸ τὴν ἱερωσύνην κανονικῶς· μὴ θέλοντες δὲ νὰ ὑποταχθοῦν εἰς τοὺς Κανόνας αὐθεντικῶς, αὐτοὶ ἑαυτοὺς ἐξεδίκησαν καὶ ἐνήργουν τὰ τῆς Ἀρχιερωσύνης καὶ Ἱερωσύνης κατ' ἰδίαν, μαζὴ δὲ μὲ αὐτοὺς συνηκολούθησαν καὶ ἄλλοι, ἀποστατήσαντες ἀπὸ τὴν καθολικὴν Ἐκκλησίαν. Σχισματικοὶ δὲ ὀνομάζονται ἐκεῖνοι ὁποῦ διαφέρονται πρὸς τὴν καθολικὴν Ἐκκλησίαν, ὄχι διὰ δόγματα πίστεως, ἀλλὰ διὰ κάποια ζητήματα ἐκκλησιαστικὰ καὶ εὐκολοϊάτρευτα. Αἱρετικοὶ δὲ ὀνομάζονται ἐκεῖνοι, τῶν ὁποίων ἡ διαφορὰ παρευθὺς καὶ ἀμέσως εἶναι περὶ τῆς εἰς Θεὸν πίστεως, ἤτοι οἱ κατὰ τὴν πίστιν καὶ τὰ δόγματα χωρισμένοι ἀπὸ τοὺς ὀρθοδόξους καὶ παντελῶς ἀπομεμακρυσμένοι (3). Οἱ Παρασυνάγωγοι λοιπὸν ἑνώνονται πάλιν μὲ τὴν Ἐκκλησίαν μὲ μόνην ἀξιόλογον μετάνοιαν καὶ ἐπιστροφὴν, καὶ οἱ ἐξ αὐτῶν ὄντες Ἱερεῖς καὶ Κληρικοὶ ἐπιστρέφοντες, εἰς τὴν αὐτὴν τάξιν καὶ βαθμὸν ὁποῦ ἦσαν πρότερον, δέχονται (4). Οἱ δὲ Αἱρετικοὶ, ὁποῖοι εἶναι οἱ Μανιχαῖοι, Οὐαλεντῖνοι καὶ Μαρκιωνισταὶ (περὶ ὧν ὅρα τὰς ὑποσημειώσεις τοῦ ιέ. τῆς ς'.) καὶ αὐτοὶ οὗτοι οἱ Πεπουζηνοὶ, περὶ ὧν ὁ λόγος, καὶ ὅσοι ἄλλοι, ἐπιστρέφοντες εἰς τὴν ὀρθοδοξίαν, βαπτίζονται ὡσὰν οἱ Ἕλληνες, ἐπειδὴ οἱ παλαιοὶ Πατέρες ἐκεῖνο μόνον τὸ Βάπτισμα ἔκριναν νὰ δεχθῇ, τὸ ὁποῖον δὲν ἐκβαίνει τελείως ἀπὸ τὴν πίστιν, τὸ δὲ τῶν αἱρετικῶν βάπτισμα, ὡς ἔξω τῆς ὀρθῆς πίστεως ὄν, ἔκριναν νὰ ἀποβάλουσι παντελῶς. Διὰ τοῦτο ἀκολούθως καὶ οἱ Πεπουζηνοὶ μὲ τὸ νὰ βαπτίζουν, ὄχι εἰς τὰ παραδεδομένα, ἤτοι ὄχι εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, ἀλλ' εἰς Πατέρα, Υἱὸν καὶ Μοντανὸν καὶ Πρίσκιλλαν, καὶ ἐντεῦθεν μὲ τὸ νὰ βλασφημοῦν εἰς τὸ Πνεῦμα τὸ ἅγιον, (ἥτις βλασφημία εἶναι ἀσυγχώρητος) ἐπιφημίζοντες τὸ ὄνομα αὐτοῦ τοῦ Παρακλήτου εἰς ἀνθρώπους θνητοὺς καὶ τοὺς ἀνθρώπους θεοποιοῦντες, αἱρετικοὶ φανερὰ εἶναι· ὅθεν καὶ πρέπει, ἐπιστρέφοντες νὰ βαπτίζωνται. Εἰ δὲ καὶ Διονύσιος (ὁ Ἀλεξανδρείας δηλ.) λέγει νὰ μὴ βαπτίζωνται, ὅμως εἰς τοῦτο ἔσφαλε, καὶ ἡμεῖς δὲν πρέπει κατὰ τοῦτο νὰ τὸν ἀκολουθῶμεν. Περὶ δὲ τῶν Σχισματικῶν δύω γνῶμαι ἐστάθησαν. Ὁ μὲν γὰρ ἅγιος Κυπριανὸς καὶ αἱ περὶ αὐτὸν ἐν Ἀφρικῇ γενόμεναι δύω Σύνοδοι (ὅρα τὸν Κανόνα αὐτοῦ), ἀλλὰ καὶ ἡ Σύνοδος ὁποῦ ἔγινεν ἐν Ἰκονίῳ ὑπὸ τοῦ ἁγίου Φιρμιλιανοῦ (τὸν ὁποῖον ἐδικόν του ὀνομάζει ὁ Βασίλειος, ὡς χρηματίσαντα Καισαρείας Ἐπίσκοπον), φυλάττοντες τὴν ἀκρίβειαν ἐπρόσταξαν, ὅτι οἱ Καθαροὶ οὗτοι, περὶ ὧν ὁ λόγος, οἱ Ἐγκρατῖται καὶ Ἀποτακτῖται (ὅρα ὑποσημείωσιν τοῦ ιέ. τῆς ς'.) καὶ οἱ Ὑδροπαραστάται (ὅρα ὑποσημ. τοῦ λϐ'. τῆς ς'.) καὶ ἁπλῶς ὅλοι οἱ Σχισματικοὶ, ἐρχόμενοι εἰς τὴν καθολικὴν Ἐκκλησίαν, νὰ βαπτίζωνται, ἐπειδὴ οἱ πρῶτοι Ἱερωμένοι τῶν Σχισματικῶν εἶχον μὲν τὸ χάρισμα τοῦ νὰ χειροτονοῦν καὶ τοῦ νὰ βαπτίζουν ἀπὸ τὴν Ἐκκλησίαν. Ἀφ' οὗ δὲ μίαν φορὰν ἐσχίσθησαν ἀπὸ τὸ ὅλον σῶμα

(1) Ἐν ἄλλοις, Προστάξεως, ὃ καὶ καταλληλότερον.

(2) Ἐν ἄλλοις, Ζωῖν ἢ Ζώϊον.

(3) Διὸ καὶ Γεώργιος ὁ Σχολάριος ἐν τῷ κατὰ Σιμωνίας, αἱρετικὸς εἶναι, λέγει. κάθε ἕνας ὁποῦ ἢ κατ' εὐθείαν, ἢ πλαγίως πλανᾶται περί τι τῶν ἄρθρων τῆς πίστεως. Καὶ οἱ πολιτικοὶ νόμοι φασίν· Αἱρετικός ἐστι, καὶ τοῖς τῶν αἱρετικῶν ὑπόκειται νόμοις, ὁ μικρὸν γοῦν τι τῆς ὀρθῆς πίστεως παρεκκλίνων. Καὶ ὁ Ταράσιος ἐν τῇ ά. πράξει τῆς ζ'. Συνόδου λέγει· Τὸ ἐπὶ δόγμασιν εἴτε μικροῖς, εἴτε μεγάλοις ἁμαρτάνειν, ταὐτόν ἐστι· ἑξ ἀμφοτέρων γὰρ ὁ νόμος τοῦ Θεοῦ ἀθετεῖται. Καὶ ὁ Φώτιος, γράφων πρὸς τὸν Ῥώμης Νικόλαον· καὶ γάρ ἐστιν ὄντως τὰ κοινὰ πᾶσιν ἅπαντα φυλάττειν ἐπάναγκες, καὶ πρό γε τῶν ἄλλων τὰ περὶ πίστεως. Ἔνθα καὶ τὸ παρεκκλῖναι μικρὸν, ἁμαρτεῖν ἐστιν ἁμαρτίαν τὴν πρὸς θάνατον. Διαφέρουσι δὲ οἱ αἱρετικοὶ ἀπὸ τοὺς ἀπίστους, καθ' ὅτι οἱ μὲν αἱρετικοὶ δὲν φρονοῦσιν ὀρθῶς τὰ τῶν χριστιανῶν, οἱ δὲ ἄπιστοι τελείως δὲν δέχονται τὴν ἐνσαρκον τοῦ Θεοῦ Λόγου οἰκονομίαν. (Μελέτιος ἐκκλ. Ἱστορ. σελ. 71.).

(4) Ὅρα περὶ τούτων τὸν ιγ'. τῆς Πρωτοδευτέρας.

τῆς Ἐκκλησίας (1), ἔχασαν αὐτὸ καὶ δὲν ἠμποροῦν πλέον νὰ βαπτίσουν ἄλλους ἢ νὰ χειροτονήσουν, καὶ ἁπλῶς νὰ δώσουν χάριν, τὴν ὁποίαν διὰ τοῦ σχίσματος ἐστερήθησαν· ὅθεν καὶ οἱ παρ' αὐτῶν βαπτιζόμενοι λογίζονται ὅτι ἀπὸ λαϊκοὺς ἐβαπτίσθησαν, διὸ καὶ χρειάζονται νὰ βαπτισθοῦν. Μερικοὶ δὲ Ἐπίσκοποι κατὰ τὴν Ἀσίαν ἐδέχθησαν τὸ βάπτισμα αὐτῶν, χάριν οἰκονομίας καὶ συγκαταβάσεως, καὶ οὐχὶ ἀκριβείας, ὡσὰν ὁποῦ οἱ σχισματικοὶ εἶναι ἀκόμη μέλη ἐκ τῆς Ἐκκλησίας. Ὅθεν κατὰ τὴν γνώμην αὐτῶν ἂς ἦναι δεκτόν· οἱ σχισματικοὶ Ἐγκρατῖται ὅμως ἰδικίτερον πρέπει νὰ βαπτίζωνται ἐπιστρέφοντες, κατὰ τὴν ἀκρίβειαν τῶν κανόνων. Καὶ διατὶ ἴδιον ἐπενόησαν βάπτισμα, παραχαράζαντες τὴν ἐν τῷ βαπτίσματι παράδοσιν (2), καὶ διατὶ περὶ τούτων ξεχωριστὴ καὶ φανερὰ ψῆφος δὲν ἔγεινε πῶς πρέπει νὰ δέχωνται· ἂν δὲ αὐτοὶ δὲν ἀναβαπτίζουσι τοὺς ἐκ τῶν ὀρθοδόξων ἡμῶν προσερχομένους εἰς αὐτούς, τοῦτο δὲν πρέπει νὰ μᾶς δυσωπήσῃ, εἰς τὸ νὰ μὴ βαπτίζωμεν ἀμοιβαίως καὶ ἡμεῖς τοὺς ἐξ αὐτῶν εἰς ἡμᾶς προσερχομένους. Πλὴν ἀνίσως καὶ τοῦτο, τὸ νὰ βαπτίζωμεν αὐτοὺς ἐπιστρέφοντας, ἔχῃ νὰ γένῃ ἐμπόδιον εἰς τὴν κοινὴν συγκατάβασιν καὶ οἰκονομίαν, ὁποῦ περὶ πάντων τῶν σχισματικῶν ἔκαμαν οἱ Πατέρες, ἂς ἀκολουθοῦμεν καὶ ἡμεῖς εἰς αὐτὴν, μήπως διὰ τὴν αὐστηρότητα τῆς προσταγῆς ταύτης τοὺς κάμνωμεν ἀμελεῖς εἰς τὸ νὰ βαπτίζωνται, αἰσχυνομένους τάχα, ὅτι ὡσὰν ἄπιστοι τελείως βαπτίζονται, καὶ ἀκολούθως ἐμποδίσωμεν τὴν σωτηρίαν τους. Καὶ συντόμως εἰπεῖν, ὅσοι βαπτισθοῦν εἰς τὸ ἐκείνων βάπτισμα, οὗτοι ἐπιστρέφοντες εἰς τὴν ὀρθοδοξίαν, ἐξάπαντος τρόπου πρέπει νὰ χρίωνται ἀπὸ τοὺς πιστοὺς μὲ τὸ ἅγιον Μύρον, καὶ οὕτω νὰ μεταλαμβάνουν. Καὶ ἐπειδὴ ἐδέχθημεν τοὺς τῶν Ἐγκρατιτῶν αὐτῶν Ἐπισκόπους καὶ τὰς χειροτονίας, μὲ τὴν παραδοχὴν ταύτην, ἐποιήσαμεν διὰ τῶν ἔργων ὡσὰν ἕνα Κανόνα, καὶ ἐδείξαμεν ὅτι αὐτοὶ δὲν εἶναι χωρισμένοι ἀπὸ τὴν καθολικὴν Ἐκκλησίαν. Ὅρα καὶ τὴν Ἑρμηνείαν τοῦ μς'. Ἀποστολ. τοῦ ή. τῆς ά. καὶ τοῦ ζ'. τῆς β'. (3).

ΚΑΝΩΝ Β'.

Ἀπος. ξς'. τῆς ἐν Ἀγκ. κα'. τῆς ς'. Ἁ. Βασ. π'.

«Ἡ φθείρασα κατ' ἐπιτήδευσιν, φόνου δίκην ὑπέχει. Ἀκριβολογία δὲ ἐκμεμορφωμένου καὶ ἀνεξεικονίστου παρ' ἡμῖν οὐκ ἔστιν. Ἐνταῦθα γὰρ ἐκδικεῖται, οὐ μόνον τὸ γεννηθησόμενον, ἀλλὰ καὶ αὐτὴ ἡ ἑαυτὴν ἐπιβουλεύσασα· διότι ὡς ἐπὶ τὸ πολὺ ἐναποθνήσκουσι ταῖς τοιαύταις ἐπιχειρήσεσιν αἱ γυναῖκες· πρόσεστι δὲ τούτῳ καὶ ἡ φθορὰ τοῦ ἐμβρύου ἕτερος φόνος, κατά γε τὴν ἐπίνοιαν τῶν ταῦτα τολμώντων. Δεῖ μέντοι μὴ μέχρι τῆς ἐξόδου παρατείνειν αὐτῶν τὴν ἐξομολόγησιν, ἀλλὰ δέχεσθαι μὲν μετὰ τὸ μέτρον τῶν δέκα ἐτῶν, ὁρίζειν δὲ μὴ χρόνῳ, ἀλλὰ τρόπῳ τῆς μετανοίας τὴν θεραπείαν». || Τῆς ά. ιβ'.

Ἑρμηνεία.

Διορίζει ὁ παρὼν Κανὼν, ὅτι ἐκείνη ἡ γυναῖκα ὁποῦ θανατώσει ἐπίτηδες τὸ παιδίον, ὁποῦ εἶναι ἐγγαστρωμένη, μὲ βότανα καὶ φαρμακερὰ ποτὰ, ἢ μὲ ὑπὲρ δύναμίν της βάρη, ἢ καὶ μὲ ἄλλους τρόπους, φονεύτρια εἶναι. Διαφορὰ δὲ κοντὰ εἰς ἡμᾶς δὲν εἶναι, καθὼς ἦτο κοντὰ εἰς τοὺς Ἰουδαίους. Ἂν θετέον, τὸ παιδίον, ὁποῦ ἀποθαμμένον ἀποβλῆθῃ, ἦναι ἀκόμη ἀμόρφωτον, ὡσὰν ἕνα κομμάτι κρέας, ἢ μεμορφωμένον, ἔχον τοὺς χαρακτῆρας καὶ τὰ μέλη ὅλα ἀκέραια τοῦ ἀνθρώπου (4), ἐπειδὴ μὲ τὸν τρόπον τοῦτον τῆς φθορᾶς δὲν ἀποθνήσκει

(1) Διότι, καθὼς ὅταν ἓν μέλος κοπῇ ἀπὸ τὸ σῶμα, νεκροῦται παρευθὺς μὲ τὸ νὰ μὴ μεταδίδεται πλέον εἰς αὐτὸ ζωτικὴ δύναμις, τοιουτοτρόπως καὶ αὐτοὶ ἀφ' οὗ μίαν φορὰν ἐσχίσθησαν ἀπὸ τὸ σῶμα τῆς Ἐκκλησίας, ἐνεκρώθησαν παρευθὺς, καὶ τὴν πνευματικὴν χάριν καὶ ἐνέργειαν τοῦ Ἁγίου Πνεύματος ἔχασαν, μὴ μεταδιδομένης ταύτης εἰς αὐτοὺς διὰ τῶν ἀφῶν καὶ συνδέσμων, ἤτοι διὰ τῆς κατὰ Πνεῦμα ἑνώσεως. Σημείωσαι ὅμως κατὰ τὸν Δοσίθεον (σελ. 968. τῆς Δωδεκαβίβλ.) ὅτι καὶ ἡ παρασυναγωγὴ εἶδός ἐστι σχίσματος, ἄνευ αἱρέσεως, ἀγκαλὰ καὶ αὐτὸ κακῶς διῃρημένον καὶ διαμένον, εἰς αἵρεσιν μεταγίνεται. Διὸ καὶ ὁ ς'. Κανὼν τῆς β'. μὲ τοὺς αἱρετικοὺς συναριθμεῖ τοὺς ὑγιᾶ μὲν ἔχοντας πίστιν, κεχωρισμένους δὲ ὄντας, καὶ κατὰ τῶν Κανονικῶν Ἐπισκόπων φατρίας κατ' ἰδίαν συνάγοντας. Οἱ δὲ Σχισματικοὶ σχισματοαιρετικοὶ εἰσὶ, καθ' ὅτι ὁ Αὐγουστῖνος (ἐπιστολῇ ρα'.) λέγει, ὅτι δὲν εἶναι κἀνὲν σχίσμα, εἰμὴ πρότερον αἵρεσιν ἀναπλάσῃ, ἵνα ὀρθῶς δόξῃ τῆς Ἐκκλησίας χωρισθῆναι. Καὶ Κεφ. ιά. εἰς τὸ κατὰ Ματθ. ὁ αὐτὸς λέγει· Τὸ σχίσμα κακῶς διαμένον, γίνεται αἵρεσις, ἢ καταφέρεται εἰς αἵρεσιν, εἰ καὶ τοὺς Σχισματικοὺς κυρίως, οὐχ ἡ διάφορος πίστις ποιεῖ, ἀλλ' ἡ διαρρηχθεῖσα τῆς κοινωνίας συντροφία (αὐτόθι).

(2) Καὶ ἂν οἱ Σχισματικοὶ οὗτοι διατὶ παρεχάραξαν τὴν ἐν τῷ βαπτίσματι συνήθειαν, ἄξιοι ἐκρίθησαν παρὰ τῷ μεγάλῳ τούτῳ Πατρὶ Βασιλείῳ νὰ βαπτίζωνται, πόσῳ μᾶλλον πρέπει νὰ βαπτίζωνται οἱ παραχαράξαντες, μᾶλλον δὲ παντελῶς διαφθείραντες τὴν τοῦ βαπτίσματος παράδοσιν Λατῖνοι, καὶ οὐ μόνον σχισματικοὶ, ἀλλὰ καὶ αἱρετικοὶ φανεροὶ ὑπάρχοντες;

(3) Σημείωσαι ὅτι ὁ Κανὼν οὗτος ἀπὸ τοῦ, τὸ δὲ τῶν Ἐγκρατητῶν κακούργημα νοῆσαι ἡμᾶς δεῖ, ἕως τέλους, ἀναφέρεται ἐν τῇ ά. πράξει τῆς ζ'. Συνόδου.

(4) Ἐν γὰρ τῷ κα'. τῆς Ἐξόδου 22 γέγραπται ὅτι, ἂν τύχῃ νὰ κτυπήσῃ τινὰς τὴν ἐγγαστρωμένην γυναῖκα καὶ ἀποβάλῃ τὸ ἔμβρυον, ἐὰν μὲν εὔγῃ αὐτὸ ἀμόρφωτον καὶ ἀτελὲς, νὰ πληρώνῃ τόσα ἄσπρα, ὅσα ἤθελε ζητήσει ὁ ἄνδρας τῆς γυναικὸς, ὡσὰν ὁποῦ ἀκόμη δὲν εἶναι τέλειος ἄνθρωπος, μὲ τὸ νὰ μὴ ἔχῃ λογικὴν ψυχὴν, κατὰ τὸν Θεοδώρητον καὶ Διόδωρον, ἐὰν δὲ ἦναι μεμορφωμένον καὶ τέλειον, νὰ θανατώνεται ὁ θανατώσας αὐτὸ ὡς φονεὺς τελείου ἀνθρώπου ὑπάρχων, ἔχοντος τό τε σῶμα τέλειον καὶ ψυχὴν λογικήν. Ὁ δὲ μέγας Βασίλειος λέγει, ὅτι ἡ

μόνον τὸ ἐν τῇ κοιλίᾳ ἔμβρυον, ἀλλὰ ταῖς περισσότεραις φοραῖς καὶ αὐτὴ ἡ τοῦτο ἐγγαστρωμένη γυναῖκα συναποθνήσκει ὁμοῦ μὲ τὸ ἔμβρυον, ὥστε καὶ διὰ τοὺς δύω φόνους αὐτοὺς, ὡς φονεῖς ἐπιτιμῶνται οἱ τοῦτο ποιοῦντες, εἴτε ἄνδρες εἶναι, εἴτε γυναῖκες. Δὲν ἐπιτιμῶνται ὅμως νὰ ἀπέχουσι τῶν Μυστηρίων εἰς ὅλην των τὴν ζωὴν, ἀλλὰ διὰ φιλανθρωπίαν εἰς δέκα χρόνους μόνον, κατὰ τὸ ἐπιτίμιον δηλ. τῶν μὴ θελημ̣ατικῶς φονευσάντων (κατὰ τὸν νζ΄. τοῦ αὐτοῦ Βασιλείου), πλὴν δὲν πρέπει νὰ περιγράφηται ἡ μετάνοια τῶν τοιούτων εἰς τοὺς χρόνους, ἀλλὰ εἰς τὸν τρόπον τῆς μετανοίας των· ὥστε, ἂν αὐτοὶ θερμότερον μετανοοῦν, ὀλιγοστεύουν οἱ δέκα χρόνοι τοῦ ἐπιτιμίου ἀπὸ τὸν Πνευματικὸν, ἂν δὲ ἀμελέστερον, αὐξάνουσι περισσότερον. Ὅρα καὶ τὸν ξ΄. Ἀποστολικὸν, τὸν ϡά. τῆς ς΄. ἀνάγνωθι καὶ τὸν ιβ΄. τῆς ά.

ΚΑΝΩΝ Γ΄.

«Διάκονος μετὰ τὴν διακονίαν πορνεύσας, ἀπόβλητος μὲν τῆς διακονίας ἔσται, εἰς δὲ τὸν τῶν λαϊκῶν ἀπωσθεὶς τόπον, τῆς κοινωνίας οὐκ εἰρχθήσεται· διότι ἀρχαῖός ἐστι Κανὼν τοὺς ἀπὸ βαθμοῦ πεπτωκότας, τούτῳ μόνῳ τῷ τρόπῳ τῆς κολάσεως ὑποβάλλεσθαι, ἀκολουθησάντων, ὡς οἶμαι, τῶν ἐξ ἀρχῆς τῷ νόμῳ ἐκείνῳ τῷ, «οὐκ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό.» [Ναούμ. ά. 9΄.] Καὶ δι' ἑτέραν δὲ αἰτίαν, ὅτι οἱ μὲν ἐν τῷ λαϊκῷ ὄντες τάγματι, ἐκβεβλημένοι τοῦ τόπου τῶν πιστῶν, πάλιν εἰς τὸν ἀφ' οὗ ἐξέπεσον τόπον ἀναλαμβάνονται, ὁ δὲ Διάκονος ἅπαξ ἔχει διαρκῆ τὴν δίκην τῆς καθαιρέσεως. Ὡς οὖν οὐκ ἀποδιδομένης αὐτῷ τῆς διακονίας, ἐπὶ ταύτης ἔστησαν μόνης τῆς ἐκδικήσεως. Ταῦτα μὲν οὖν τὰ ἐκ τῶν τύπων. Καθ' ὅλου δὲ ἀληθέστερόν ἐστιν ἴαμα ἡ τῆς ἁμαρτίας ἀναχώρησις. Ὥστε ὁ διὰ σαρκὸς ἡδονὴν ἀθετήσας τὴν χάριν, διὰ τοῦ συντριμμοῦ τῆς καρδίας καὶ πάσης δουλαγωγίας τῆς κατ' ἐγκράτειαν τῶν ἡδονῶν ἀποστὰς, ὑφ' ὧν κατεστράφη, τελείαν ἡμῖν παρέξει τῆς ἰατρεύσεως αὐτοῦ τὴν ἀπόδειξιν. Ἀμφότερα τοίνυν εἰδέναι ἡμᾶς δεῖ, καὶ τὰ τῆς ἀκριβείας καὶ τὰ τῆς συνηθείας, ἔπεσθαι δὲ, ἐπὶ τῶν μὴ καταδεξαμένων τὴν ἀκρότητα, τῷ παραδοθέντι τύπῳ.

Ἑρμηνεία.

Ἀνίσως Διάκονος μετὰ τὴν χειροτονίαν πορνεύσῃ, καθαιρεῖται μὲν ἀπὸ τὴν διακονίαν, κατὰ τὸν Κανόνα τοῦτον καὶ εἰς τὸν τόπον τῶν λαϊκῶν βάλλεται, δὲν ἀποδιώκεται ὅμως ἀπὸ τὴν κοινωνίαν (1), ἤτοι ἀπὸ τὴν μετὰ τῶν πιστῶν σύστασιν καὶ προσευχὴν, ταὐτὸν εἰπεῖν, δὲν ἀφορίζεται ἐκ τῆς Ἐκκλησίας, ὡς οἱ κατηχούμενοι (οὐχὶ δὲ καὶ μεταλαμβάνει), ἐπειδὴ ὁ κέ. τῶν Ἀποστόλων (ὃν καὶ ἀνάγνωθι) μὲ τὴν παιδείαν μόνην τῆς καθαιρέσεως ἐπαίδευσε τούτους, ὄχι δὲ καὶ μὲ τὴν τοῦ ἀφορισμοῦ ἐκ τῆς Ἐκκλησίας· ἕνα μὲν, διατὶ ἠκολούθησεν εἰς τὸ ῥητὸν ἐκεῖνο, τὸ λέγον· Δὲν θέλεις παιδεύσεις τινὰ δύω φοραῖς διὰ ἕνα καὶ τὸ αὐτὸ ἁμάρτημα, καὶ ἄλλο δὲ (τοῦτο τὸ λέγει ὁ Βασίλειος ἀπὸ λόγου του), διατὶ οἱ μὲν λαϊκοὶ ἁμαρτάνοντες, διώκονται μὲν ἀπὸ τὸν τόπον τῆς μετὰ τῶν πιστῶν συστάσεως ἐν τῇ Ἐκκλησίᾳ, ἀφ' οὗ δὲ τελιώσουν τοὺς διορισθέντας χρόνους τῆς μετανοίας, πάλιν τὸν αὐτὸν τόπον ἀναλαμβάνουσιν. Ὁ δὲ Διάκονος (καὶ ἁπλῶς κάθε Ἱερωμένος), ἀφ' οὗ μίαν φορὰν καθαιρεθῇ καὶ χάσῃ τὴν διακονίαν, δεύτερον δὲν λαμβάνει αὐτὴν (ὅρα τὴν β΄. ὑποσημ. τοῦ κή. Ἀποστολικοῦ). Καὶ λοιπὸν λέγει, ἐπειδὴ ἄλλην φορὰν δὲν τοῦ δίδεται ἡ διακονία, διὰ τοῦτο οἱ παλαιοὶ Κανόνες, ἤγουν οἱ Ἀποστολικοὶ, εἰς τὴν καθαίρεσιν καὶ μόνην ἔστησαν τὴν τιμωρίαν, καθαιρείσθω καὶ μὴ ἀφοριζέσθω δηλαδὴ, προστάξαντες. Καὶ τοῦτο μὲν εἶναι τὸ ἐπιτίμιον, ὁποῦ οἱ Κανόνες συνηθίζουν νὰ δίδουν εἰς τοὺς πορνεύσαντας Διακόνους, ἤγουν μόνη ἡ καθαίρεσις. Καθολικὴ ὅμως καὶ τελεία καὶ ἀκριβὴς ἰατρεία εἰς αὐτοὺς εἶναι, τὸ νὰ κάμουν ἀποχὴν τῆς ἁμαρτίας, καὶ τὸ νὰ μακρύνουν ἀπὸ τὰς ἡδονὰς, ἀπὸ τὰς ὁποίας κατεσκλαβώθησαν καὶ τὴν χάριν τῆς ἱερωσύνης ἔχασαν, μὲ συντριβὴν, μὲ ἐγκράτειαν καὶ κάθε ἄλλην δουλαγωγίαν καὶ κακοπάθειαν. Τὸ ὑπόλοιπον δὲ μέρος τοῦ Κανόνος τούτου, τὸ διαλαμβάνον περὶ τῆς συνηθείας καὶ ἀκριβείας (2), ὅρα εἰς τὴν ὑποσημείωσιν τοῦ ιβ΄. τῆς ά. καὶ μάλιστα εἰς τὴν τοῦ ρϐ΄. τῆς ς΄. ὑποσημείωσιν· αὐτολεξεὶ γὰρ παρ' ἐκείνου ἀναφέρεται καὶ παρ' ἡμῶν ἑρμηνεύεται.

παρατήρησις αὕτη δὲν θεωρεῖται τώρα εἰς ἡμᾶς, καθ' ὅτι καὶ ὁ τὸ ἀτελὲς καὶ ἀμόρφωτον ἔμβρυον θανατώσας, φονεύς ἐστιν, ἐπειδὴ τοῦτο, ἂν καὶ τότε δὲν ἦτο τέλειος ἄνθρωπος, ἔμελλεν ὅμως ἀναγκαίως κατὰ τὴν ἀπαραίτητον ἀκολουθίαν τῶν νόμων τῆς φύσεως νὰ τελειωθῇ.

(1) Κάποιοι ἐνόησαν διὰ κοινωνίαν ἐνταῦθα τὴν μετάληψιν τῶν θείων Μυστηρίων, ὅμως δὲν εἶναι ἔτσι, ἀλλὰ καθὼς ἡμεῖς ἐξηγήσαμεν, οὕτω νοεῖται. Καὶ ὁ λϐ΄. τοῦ αὐτοῦ Πατρὸς ἐξηγεῖ τοῦτον, οὕτω λέγων· «Οἱ τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτάνοντες Κληρικοὶ, τοῦ βαθμοῦ μὲν κατάγονται, τῆς κοινωνίας δὲ τῶν λαϊκῶν οὐκ ἐξείργονται· οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό». Μετὰ τῶν λαϊκῶν ἵσταται λοιπὸν, καὶ οὐκ ἐκβάλλεται τῆς Ἐκκλησίας, ὅμως καὶ δὲν κοινωνεῖ τῶν Μυστηρίων, καθὼς τινες λέγουσιν, ὅτι ὁ μϐ΄. τοῦ αὐτοῦ λέγει οὕτω· «Ἡ Διάκονος ἡ τῷ Ἕλληνι συμπορνεύσασα δεκτή ἐστιν εἰς κοινωνίαν (τὴν μετὰ τῶν πιστῶν δηλονότι), εἰς δὲ τὴν προσφορὰν (ἰδοὺ ἡ τῶν Μυστηρίων) δεχθήσεται τῷ ζ΄. ἔτει.» Λέγουσι δὲ οἱ ἑρμηνευταὶ, ὅτι διὰ τὴν πρὸς τὸν Ἕλληνα μίξιν ἐπετέθη αὐτῇ τὸ βαρὺ ἐπιτίμιον. Λοιπὸν καὶ τῷ Διακόνῳ ἔσται μὲν ὡσαύτως ἐπιτίμιον ἀκοινωνησίας τῶν Μυστηρίων, ἴσως δὲ ὀλιγώτερον ἀπὸ τὸ τῶν πορνευόντων, ὅπερ αὐτὸς ὥρισεν, οἷον ἔτη 4.

(2) Μερικοὶ λέγουσιν, ὅτι συνήθειαν μὲν ὀνομάζει ὁ Ἅγιος

ΚΑΝΩΝ Δ'.

«Περὶ τριγάμων καὶ πολυγάμων τὸν αὐτὸν ὡρίσαμεν Κανόνα, ὃν καὶ ἐπὶ τῶν διγάμων ἀναλόγως. Ἐνιαυτὸν μὲν γὰρ ἐπὶ τῶν διγάμων, ἄλλοι δὲ, δύω ἔτη. Τοὺς δὲ τριγάμους ἐν τρισὶ καὶ τέταρσι πολλάκις ἔτεσιν ἀφορίζουσιν. Ὀνομάζουσι δὲ τὸ τοιοῦτον οὐκ ἔτι γάμον, ἀλλὰ πολυγαμίαν, μᾶλλον δὲ πορνείαν κεκολασμένην· δι' ὃ καὶ ὁ Κύριος τῇ Σαμαρείτιδι πέντε ἄνδρας διαμειψάσῃ ὃν νῦν, φησὶν, ἔχεις, οὐκ ἔστι σου ἀνὴρ, [Ἰωάν. δ'. 18.] ὡς οὐκ ἔτι ἀξίων ὄντων τῶν ὑπερεκπεσόντων τοῦ μέτρου τῆς διγαμίας, τῷ τοῦ ἀνδρὸς, ἢ τῆς γυναικὸς καλεῖσθαι προσρήματι. Συνήθειαν δὲ κατελάβομεν ἐπὶ τῶν τριγάμων πενταετίας ἀφορισμὸν οὐκ ἀπὸ Κανόνος, ἀλλ' ἀπὸ τῆς τῶν προειληφότων ἀκολουθίας. Δεῖ δὲ μὴ πάντῃ αὐτοὺς ἀπείργειν τῆς Ἐκκλησίας, ἀλλ' ἀκροάσεως αὐτοὺς ἀξιοῦν ἐν δύω που ἔτεσιν ἢ τρισὶ, καὶ μετὰ ταῦτα ἐπιτρέπειν, συστήκειν μὲν, τῆς δὲ κοινωνίας τοῦ ἁγαθοῦ ἀπέχεσθαι, καὶ οὕτως ἐνδειξαμένους καρπόν τινα μετανοίας, ἀποκαθιστᾶν τῷ τόπῳ τῆς κοινωνίας».

Ἑρμηνεία.

Περὶ τριγαμίας διορίζει ὁ παρὼν Κανὼν λέγων, ὅτι τὴν τριγαμίαν οἱ παλαιοὶ Πατέρες δὲν ὀνομάζουσι γάμον, ἀλλὰ πολυγαμίαν (καὶ ἴσως ἐννοεῖ ἐδῶ τοὺς ἐν Νεοκαισαρείᾳ Πατέρας, οἵτινες ἐν τῷ γ'. Κανόνι πλείστους γάμους τὸν τρίτον γάμον ὀνομάζουσιν), ἢ μᾶλλον εἰπεῖν πορνείαν ὄχι ἐξαπλωμένην εἰς κάθε γυναῖκα, ἀλλὰ συνεσταλμένην εἰς μίαν γυναῖκα. Ὅθεν, τόσον αἱ τριγαμοῦσαι γυναῖκες· δὲν εἶναι ἄξιαι νὰ ὀνομάζωνται παρὰ τῶν τριγάμων ἀνδρῶν γυναῖκές των, ὅσον καὶ οἱ τρίγαμοι ἄνδρες δὲν εἶναι ἄξιοι νὰ ὀνομάζωνται ἀπὸ τὰς τριγάμους γυναῖκας ἄνδρες αὐτῶν. Διότι καὶ ὁ Κύριος εἶπεν εἰς τὴν πέντε ἄνδρας λαβοῦσαν Σαμαρείτιδα, ὅτι τὸν ἄνδρα ὁποῦ ἔχεις τώρα δὲν εἶναι νόμιμος, καὶ ἀκολούθως δὲν εἶναι ἄξιος νὰ ὀνομάζεται ἄνδρας σου. Τοὺς τριγάμους λοιπὸν καὶ πολυγάμους τούτους, μερικοὶ μὲν κανονίζουν ἀναλόγως μὲ τοὺς διγάμους, ἤγουν ἐπειδὴ καὶ τοὺς διγάμους ἄλλοι μὲν ἕνα χρόνον, ἄλλοι δὲ δύω κανονίζουν, διὰ τοῦτο τοὺς τριγάμους ἀναλόγως μὲ τοὺς χρόνους τῶν διγάμων, εἰς τρεῖς καὶ τέσσαρας χρόνους κανονίζουν. Ἀπὸ τὴν τῶν προγενεστέρων ὅμως συνήθειαν καὶ ὄχι ἀπὸ Κανόνα, πέντε χρόνους αὐτοὶ κανονίζονται. Πλὴν δὲν πρέπει νὰ ἐκβάλλωνται τελείως ἀπὸ τὴν Ἐκκλησίαν ὡς οἱ ἔξω τῆς πόλης προσκλαίοντες, ἀλλὰ δύω χρόνους ἢ τρεῖς νὰ ἀκροῶνται τὰς Γραφὰς, καὶ μετὰ ταῦτα στέκωνται μὲ τοὺς πιστοὺς χωρὶς νὰ μεταλαμβάνουν, καὶ οὕτω καρπὸν δείξαντες μετανοίας, νὰ μεταλαμβάνουν. Ὅρα καὶ τὴν ἑρμηνείαν τοῦ γ'. καὶ ζ'. τῆς ἐν Νεοκαισαρείᾳ, καὶ τὴν ἰχνογραφίαν τοῦ Ναοῦ ἐν τῷ τέλει.

ΚΑΝΩΝ Ε'.

«Τοὺς ἐπὶ τῇ ἐξόδῳ μετανοοῦντας τῶν αἱρετικῶν δέχεσθαι χρή. Δέχεσθαι δὲ δηλ. οὐκ ἀκρίτως, ἀλλὰ δοκιμάζοντας εἰ ἀληθινὴν ἐπιδείκνυνται τὴν ψῆφον τῆς μετανοίας, καὶ εἰ τοὺς καρποὺς ἔχουσι μαρτυροῦντας τῇ πρὸς τὸ σωθῆναι σπουδῇ».

Ἑρμηνεία.

Ἐπειδὴ μερικοὶ ἀποροῦσαν ἂν πρέπῃ νὰ δέχωνται οἱ αἱρετικοὶ, μετανοοῦντες εἰς τὸ τέλος τῆς ζωῆς των, ἀποκρίνεται ὁ Ἅγιος διὰ τοῦ πκρόντος Κανόνος ὅτι πρέπει νὰ δέχωνται, ὄχι ὅμως ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλὰ νὰ δοκιμάζωμεν αὐτοὺς, ἂν τῇ ἀληθείᾳ μετανοοῦν καὶ ἀφίνουν τὰ αἱρετικὰ αὐτῶν δόγματα, καὶ καρποὺς δείχνουσι μετανοίας. Ὅρα τὸν ζ'. τῆς β'. καὶ ιϐ'. τῆς ἐν Νεοκαισαρείᾳ.

Ὁ παρὼν Κανὼν εἴκοσι χρόνους κανονίζει τὸν θεληματικῶς φονεύσαντα ἄνθρωπον, καὶ μετὰ ταῦτα μετανοήσαντα. Καὶ δ' μὲν χρόνους διορίζει αὐτὸν νὰ προσκλαίῃ, ἑ νὰ ἀκροάζεται, καὶ ε' νὰ ἐκβαίνῃ ἔξω τῆς Ἐκκλησίας μὲ τοὺς ἀκροωμένους ὁμοῦ, ζ' νὰ ὑποπίπτῃ, η' νὰ στέκεται μὲ τοὺς πιστοὺς, καὶ μετὰ ταῦτα πάντα νὰ μεταλαμβάνῃ. Ὅρα καὶ τὸν ξς'. Ἀποστολικὸν, καὶ τὸν ιά. τῆς ά. καὶ τὴν ἐν τῷ τέλει ἰχνογραφίαν τοῦ Ναοῦ.

ΚΑΝΩΝ ΝΖ'.

«Ὁ ἀκουσίως φονεύσας, ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔσται τῶν Ἁγιασμάτων. Οἰκονομηθήσεται δὲ ἐπ' αὐτῷ τὰ δέκα ἔτη οὕτω· δύω μὲν ἔτη ἐν προσκλαύσει, τρία δὲ ἔτη ἐν ἀκρωομένοις διατελέσει, ἐν δ' ὑποπίπτων, καὶ ἐν ἑνιαυτῷ συσταθήσεται μόνον, καὶ τῷ ἑξῆς εἰς τὰ Ἅγια δεχθήσεται».

Ἑρμηνεία.

Τὸν δὲ χωρὶς τὸ θέλημά του φονεύσαντα, δέκα χρόνους ἐμποδίζει ὁ παρὼν Κανὼν ἀπὸ τὰ θεῖα Μυστήρια, καὶ διορίζει αὐτὸν β' νὰ προσκλαίῃ, γ' νὰ ἀκροάζεται, δ' νὰ ὑποπίπτῃ, καὶ α' νὰ στέκεται μὲ τοὺς πιστοὺς, καὶ οὕτω νὰ μεταλαμβάνῃ. Ὅρα τὸν ξς'. Ἀποστολικὸν, τὸν ιά. τῆς ά. καὶ τὴν ἰχνογραφίαν τοῦ Ναοῦ.

ΚΑΝΩΝ ΝΗ'.

Τῆς ἐν Ἀγκύρ. κ'. Νύσσης δ'.

«Ὁ μοιχεύσας, ἐν ιε' ἔτεσιν ἀκοινώνητος ἔσται τῶν Ἁγιασμάτων. Οἰκονομηθήσεται δὲ τὰ ιε' ἔτη ἐπ' αὐτῷ οὕτως. Ἐν δ' μὲν ἔτεσι προσκλαίων ἔσται, ἐν ε' δὲ ἀκροώμενος, ἐν τέσσαρσιν ὑποπίπτων, ἐν δυσὶ συνεστὼς ἄνευ Κοινωνίας».

Ἑρμηνεία.

Τὸν μοιχὸν ὁ Κανὼν οὗτος ιέ χρόνους κανονίζει νὰ ἀπέχῃ τῆς Κοινωνίας. Καὶ δ' μὲν νὰ προσκλαίῃ, ε' νὰ ἀκροᾶται, δ' νὰ ὑποπίπτῃ, β' νὰ στέκεται μὲ τοὺς πιστοὺς, καὶ οὕτω νὰ μεταλαμβάνῃ. Ὅρα καὶ τὸν κ' τῆς ἐν Ἀγκύρᾳ.

ΚΑΝΩΝ ΝΘ'.

Βασιλ. κθ'. Νύσ. δ'.

«Ὁ πόρνος ἐν ἑπτὰ ἔτεσιν ἀκοινώνητος ἔσται τῶν Ἁγιασμάτων. Δύω προσκλαίων, καὶ δύω προσακροώμενος, καὶ δύω ὑποπίπτων, καὶ ἐν ἑνὶ συνεστὼς μόνον, τῷ ὀγδόῳ δὲ δεχθήσεται εἰς τὴν Κοινωνίαν».

Ἑρμηνεία.

Ὁ Κανὼν οὗτος κανονίζει τὸν πόρνον ἑπτὰ χρόνους νὰ ἀπέχῃ τῶν Μυστηρίων. Καὶ δύω μὲν νὰ προσκλαίῃ, δύω δὲ νὰ ἀκροᾶται, δύω νὰ ὑποπίπτῃ, ἕνα νὰ συνίσταται μὲ τοὺς πιστοὺς, καὶ εἰς τὸν ὄγδοον χρόνον νὰ μεταλαμβάνῃ. Ὁ Κανὼν οὗτος διορισμός ἐστιν ἴδιος τοῦ Βασιλείου καὶ ἐπιτίμιον, δι' ὃ καὶ βαρύτερόν ἐστι. Καὶ ὅρα τὸν κβ'. Κανόνα αὐτοῦ, καὶ τὴν εἰς ἐκεῖνον ὑποσημείωσιν.

ΚΑΝΩΝ Ξ'.

«Ἡ παρθενίαν ὁμολογήσασα καὶ ἐκπεσοῦσα τῆς ἐπαγγελίας, τὸν χρόνον τοῦ ἐπὶ τῆς μοιχείας ἁμαρτήματος ἐν τῇ οἰκονομίᾳ τῆς καθ' ἑαυτὴν ζωῆς πληρώσει. Τὸ αὐτὸ καὶ ἐπὶ τῶν βίον μοναζόντων ἐπαγγελλομένων καὶ ἐκπιπτόντων». || Τῆς δ'. ις'. τῆς ἐν Ἀγκύρᾳ ιθ'.

Ἑρμηνεία.

Ὁ Κανὼν οὗτος εἰς τὸ τῆς μοιχείας ἐπιτίμιον ὑποβάλλει, ἤτοι δεκαπέντε χρόνους κανονίζει τὰς Καλογραίας καὶ τοὺς Μοναχοὺς, ὁποῦ ἢ πορνεύσουν ἢ ὑπανδρευθοῦν. Ὅρα καὶ τὸν ις'. τῆς δ'. καὶ τὸν ιθ'. τῆς ἐν Ἀγκύρᾳ.

ΚΑΝΩΝ ΞΑ'.

«Ὁ κλέψας, εἰ μὲν ἀφ' ἑαυτοῦ μεταμεληθεὶς κατηγορήσοι ἑαυτοῦ, ἑνιαυτὸν κωλυθήσεται μόνης τῆς κοινωνίας τῶν Ἁγιασμάτων, εἰ δὲ ἐλεγχθείη, ἐν δυσὶν ἔτεσι. Μερισθήσεται δὲ αὐτῷ ὁ χρόνος εἰς ὑπόπτωσιν καὶ σύστασιν, καὶ τότε ἀξιωθήσεται τῆς Κοινωνίας».

Ἑρμηνεία.

Ὁ παρὼν Κανὼν, τὸν μὲν κλέψαντα, καὶ ἀφ' ἑαυτοῦ ἐξομολογηθέντα καὶ μετανοήσαντα, ἕνα μόνον χρόνον ἐμποδίζει ἀπὸ τὴν κοινωνίαν, τὸν δὲ φανερωθέντα ἀπὸ ἄλλους, ἢ πιασθέντα ἐπάνω εἰς τὴν κλεψίαν, ἕνα χρόνον κανονίζει νὰ ὑποπίπτῃ, καὶ ἄλλον ἕνα νὰ στέκεται μὲ τοὺς πιστοὺς, καὶ οὕτω νὰ μεταλαμβάνῃ. Ὅρα καὶ τὸν γ'. Γρηγορίου Νεοκαισαρείας.

ΚΑΝΩΝ ΞΒ'.

«Ὁ τὴν ἀσχημοσύνην ἐν τοῖς ἄρρεσιν ἐπειδεικνύμενος, τῷ χρόνῳ τοῦ ἐν τῇ μοιχείᾳ παρανομοῦντος οἰκονομηθήσεται». || Βασιλ. ζ'. Νύσ. δ'.

Ἑρμηνεία.

Τὸν ἀρσενοκοίτην ὁ παρὼν Κανὼν ὁμοίως μὲ τὸν μοιχὸν κανονίζει, ἤτοι χρόνους ιέ. Ὅρα καὶ τὸν ζ'. τοῦ αὐτοῦ Βασιλείου.

ΚΑΝΩΝ ΞΓ'.

«Ὁ ἐν ἀλόγοις τὴν ἑαυτοῦ ἀσέβειαν ἐξαγορεύων, τὸν αὐτὸν χρόνον ἐξομολογούμενος, παραφυλάξεται».

Ἑρμηνεία.

|| Τῆς ἐν Ἀγ. ις'. ιζ'. Βασιλ. ζ'. Νύσσης δ'.

Τὸν κτηνοβάτην ὁ παρὼν Κανὼν παρομοίως εἰς ιε' χρόνους κανονίζει. Ὅρα καὶ τὸν ις'. τῆς ἐν Ἀγκύρᾳ.

ΚΑΝΩΝ ΞΔ'.

«Ὁ ἐπίορκος, ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔσται, δυσὶν ἔτεσι προσκλαίων, τρισὶν ἀκροώμενος, τέσσαρσιν ὑποπίπτων, ἑνιαυτὸν μόνον συνεστὼς, καὶ τότε τῆς Κοινωνίας ἀξιούμενος.

Ἑρμηνεία.

Τὸν ἐπίορκον ὁ παρὼν Κανὼν εἰς δέκα χρόνους ἐμποδίζει ἀπὸ τὰ Μυστήρια, καὶ διορίζει, δύω μὲν νὰ προσκλαίῃ, τρεῖς δὲ νὰ ἀκροᾶται, τέσσαρας νὰ ὑποπίπτῃ, ἕνα νὰ στέκεται μὲ τοὺς πιστοὺς, καὶ ἔτσι νὰ μεταλαμβάνῃ. Ὁ ἐπίορκος δὲ οὗτος πρέπει νὰ νοηθῇ, ὅτι χωρὶς ἀνάγκην ἐπιώρκησεν (1). Ὅρα τὸν ϛδ'. τῆς ς'.

(1) Σημείωσαι ὅμως, ὅτι ὁ θεῖος Ἰσίδωρος ὁ Πηλουσιώτης, μαθὼν ὅτι ὁ Ἱερεὺς Ζώσιμος διὰ ὀλίγα ὀψάρια, ὁποῦ τοῦ ἐπῆγεν ἕνας ἐπίορκος, τοῦ ἐσυγχώρησε, τοῦ γράφει, ὅτι μὲ τὰ δῶρα δὲν συγχωρεῖται ὁ τοιοῦτος ἐπίορκος, ἐὰν πρῶτον δὲν λάβῃ τὴν ζημίαν ὁποῦ ἔπαθεν ὁ ἀντίδικος τοῦ ἐπιόρκου ἀπὸ τὴν τοιαύτην ἐπιορκίαν του. «Οὐ γὰρ τὸ σὲ δώροις ἐξευμενισθῆναι ἀπολύει ἐκεῖνον τοῦ ἐγκλήματος, ἀλλὰ τὸ ἀπολαβεῖν τὰ οἰκεῖα τὸν ἐκ τῆς ἐπιορκίας ἀδικηθέντα» (ἐπιστ. ᾰξ'. Ζωσίμ.). Ὅθεν ἀφ' οὗ λάβῃ ἐκεῖνα ὁποῦ ἔχασεν ὁ ἐκ τῆς ἐπιορκίας ἀδικηθεὶς, τότε πρέπει νὰ κανονίζεται ὁ ἐπίορκος.

ΚΑΝΩΝ ΞΕ'.

«Ὁ γοητείαν ἢ φαρμακείαν ἐξαγορεύων, τὸν τοῦ φονέως χρόνον οἰκονομηθήσεται, οὕτως οἰκονομούμενος, ὡς ἐν ἑκάστῳ ἁμαρτήματι ἑαυτὸν ἐλέγξας».

Ἑρμηνεία.

Τὸν γόητα καὶ φαρμακὸν παρομοίως μὲ τὸν ἑκουσίως φονεύσαντα ὁ παρὼν Κανὼν ἐπιτιμᾷ. Ὅρα καὶ τὸν ξά. τῆς ς'.

ΚΑΝΩΝ ΞΣ'.

«Ὁ τυμβωρύχος ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔσται».

Ἑρμηνεία.

Ὁ παρὼν Κανὼν δέκα χρονους ἐμποδίζει ἀπὸ τὴν κοινωνίαν ἐκεῖνον ὁποῦ ἀνοίγει τοὺς τάφους, διὰ νὰ κλέψῃ τι κόσμιον ἀπὸ τὸ ἐνταφιασμένον σῶμα (1). Ὁ δὲ Νύσσης ἐν τῷ ζ'. αὐτοῦ Κανόνι εἰς δύω διαιρῶν τὴν τυμβωρυχίαν, εἰς συγγνωστὴν καὶ ἀσύγγνωστον, συγγνωστὴν μὲν λέγει, ὅταν τινὰς μὴ πειράζων τὸν νεκρὸν, παίρνῃ τὰς πέτρας ὁποῦ τυχὸν εἰς τὸν τάφον εὑρίσκονται, διὰ νὰ τὰς βάλῃ εἰς ἄλλου τινὸς κοινωφελεστέρου ἔργου οἰκοδομήν· ἀσύγγνωστον δὲ τυμβωρυχίαν ὀνομάζει, ὅταν τινὰς ἀνοίγῃ τοὺς τάφους διὰ νὰ πάρῃ ροῦχα, ἢ ἄλλο τι κόσμιον ἀπὸ τοὺς ἐκεῖ τεθαμμένους νεκροὺς, ἤτις αὕτη ὡς ἡ πορνεία ἐπιτιμᾶται, ἤτοι ἐννέα χρόνους. Ὁ δὲ Νηστευτὴς τὸν τυμβωρύχον ἕνα χρόνον κανονίζει μετὰ ξηροφαγίας καὶ μετανοιῶν ἐν τῷ κθ'. αὐτοῦ Κανόνι.

(1) Ὁ κγ'. τίτλ. τοῦ ζ'. βιβλ. τῶν Βασιλικῶν Θεσπίζει, ὅτι οἱ τυμβωρύχοι καὶ ἐγκληματικῶς παιδεύονται καὶ χρηματικῶς. Ἐγκληματικῶς μὲν, διατὶ ὡς ἄτιμοι καταδικάζονται, χρηματικῶς δὲ διατὶ ζημιώνονται, ποτὲ μὲν ἑκατὸν, ποτὲ δὲ, διακόσια νομίσματα. Καὶ ἂν μὲν μὲ ἅρματα ὑπάγουν καὶ ἀνοίξουν τὸν τάφον, κεφαλικῶς τιμωροῦνται, εἰ δὲ χωρὶς ἅρματα, καταδικάζονται νὰ εὐγάζουν χῶμα ἀπὸ τὰ μεταλλεῖα. Καὶ ἂν μὲν ἦναι εὐτελεῖς, ἄκρως τιμωροῦνται, ἂν δὲ ἦναι ἔντιμοι, ἐξορίζονται, ἢ εἰς τὰ μεταλλεῖα καταδικάζονται. Ὁ δὲ ζ'. τίτλ. τοῦ ιά. βιβλ. τῶν Διατάξεων. οἱ τυμβωρύχοι, λέγει, ὑπόκεινται εἰς τὸν περὶ ἱεροσυλίας νόμον. Σημείωσαι ὅτι χωρὶς ἄδειαν Ἱερέως, ἢ τοῦ Ἐπισκόπου ἢ τοῦ Βασιλέως, ἢ τῶν ἀρχόντων. ὅσοι μετακινοῦσι σώματα τῶν νεκρῶν, ὡς τυμβωρύχοι λογίζονται. Δι' ὃ καὶ χωρὶς τοιαύτης ἐπιτροπῆς, λείψανα μεταθέμενος Ἡγούμενός τις τῆς Μονῆς τοῦ ἁγίου Μωκίου. ἐξεβλήθη τῆς ἡγουμενίας καὶ καθηρέθη κατὰ τὸν Βαλσαμῶνα. (Ὅρα ταῦτα πάντα παρὰ Φωτί. τίτλ. θ. Κεφ. κζ'.). Ἁρμόδιον εἶναι εἰς τὴν παροῦσαν ὑποσημείωσιν νὰ προσθέσωμεν πόσης καταδίκης εἶναι ἄξιοι ἐκεῖνοι οἱ Ἱερεῖς ἢ λαϊκοὶ, ὁποῦ ἀνοίγουν τοὺς τάφους, διὰ νὰ εὕρουν, λέγουν, τοὺς παρ' αὐτῶν καλουμένους Βρικολάκους καὶ νὰ τοὺς θανατώσουν. Ὦ τῆς ἐλεεινῆς καταστάσεως καὶ ἀγνωσίας, εἰς τὴν ὁποίαν ἔφθασαν οἱ τωρινοὶ Χριστιανοί! Χριστιανοὶ ἀδελφοὶ, τί πλάνες εἶναι αὐταῖς ὁποῦ ἔχετε; τί μωροὶ καὶ νηπιώδεις λογισμοὶ, εἰς τοὺς ὁποίους πιστεύετε; τί περιπαίγματα εἶναι αὐτὰ, μὲ τὰ ὁποῖα σᾶς χωρίζουν οἱ δαίμονες ἀπὸ τὴν εἰς Θεὸν ἀδίστακτον πίστιν, καὶ σᾶς περιπαίζουν ὡσὰν τὰ ἀνόητα παιδία; Σᾶς λέγω καὶ σᾶς πληροφορῶ, ὅτι Βρικόλακες δὲν γίνονται ποτὲ, οὔτε εἶναι εἰς τὸν κόσμον. Οἱ Βρικόλακες ὁποῦ ἐσεῖς λέγετε, ἄλλο δὲν εἶναι, πάρεξ μία ψεύτικη καὶ παιδαριώδης πρόληψις, ὁποῦ ἐγεννήθη ἀπὸ τὸν φόβον καὶ τὴν ἀπιστίαν σας, καὶ ἕνας ἀνόητος λογισμὸς ὁποῦ σᾶς γελᾷ καὶ σᾶς λέγει, πῶς οἱ νεκροὶ ἀσηκώνονται ἀπὸ τὰ μνήματα καὶ ἔρχονται καὶ σᾶς πειράζουν· δὲν εἶναι Βρικόλακες, διατὶ ἀδύνατον εἶναι ποτε ὁ διάβολος νὰ ἀσηκώσῃ νεκρὸν καὶ τὸ πρὸ ἑνὸς, ἢ δύω μηνῶν ἀποσαμμένον σῶμα νὰ τὸ κάμῃ νὰ ἔχῃ αἷμα. ἢ ὀνύχια, ἢ ἄλλην κἀμμίαν σωματικὴν κίνησιν, καθὼς ἐσεῖς φαντάζεσθε. Οἱ Βρικόλακες εἶναι ἕνας ἀνόητος λογισμὸς, διατὶ, ἂν ἀκριβῶς ἐξετάσῃ τινὰς ἐκείνους ὁποῦ λέγουν, πῶς εἶδαν Βρικόλακας, θέλει εὕρει, πῶς ἀφ' οὗ αὐτοὶ εἶποῦν, ὅτι ἄλλος τις τοὺς τὸ εἶπε, καταντοῦν τέλος πάντων εἰς τὸ νὰ εἶποῦν τοῦτο. Ἔτσι μοῦ ἐφάνη. ὡς πολλάκις ἐπὶ τῶν πραγμάτων εἰς πολλοὺς τόπους ἠκολούθησε τοῦτο. Ὅθεν. ἀδελφοί μου, μανθάνοντες ταῦτα, ἐκβάλετε ἀπὸ τὸν λογισμόν σας τὴν τοιαύτην πρόληψιν καὶ φαντασίαν, καὶ εἰς τὸ ἑξῆς μὴ πιστεύετε ποτὲ, πῶς εἶναι τῇ ἀληθείᾳ Βρικόλακες. Ἐὰν δὲ ἀπὸ τὴν πρὸς Θεὸν ὀλιγοπιστίαν σας σᾶς δείχνῃ ὁ διάβολος κάποιας φαντασίας. λαλεῖτε τὸν Ἱερέα νὰ ψάλλῃ εἰς τὸν τόπον ἐκεῖνον ἁγιασμὸν, καὶ διὰ τῆς θείας χάριτος διαλύεται ἡ ἐνέργεια τῶν δαιμόνων. Ὅσοι δὲ ἀποτολμήσουν νὰ ἀνοίξουν τοὺς τάφους διὰ νὰ κτυποῦν τὸ νεκρὸν σῶμα, ἢ διὰ νὰ καίουν αὐτὸ, μὲ σκοπὸν τάχα νὰ θανατώσουν μὲ τὸ κτύπημα αὐτὸ καὶ τὸ καύσιμον τὸν Βρικόλακα, οὗτοι ὄχι μόνον ὡς τυμβωρύχοι, ἀλλὰ καὶ ὡς φονεῖς πρέπει νὰ κανονίζωνται παρὰ τοῦ Ἀρχιερέως. Τί λέγω ταῦτα; οἱ τοιοῦτοι πρέπει μὲ σφοδρὰ ἐπιτίμια νὰ ἐμποδισθοῦν ἀπὸ τὸν Ἀρχιερέα εἰς τὸ νὰ μὴ ἀποτολμοῦν ἀπὸ τὴν ἀρχὴν, οὔτε νὰ ἀνοίγουν ὁλότελα τῶν ὑποπτευομένων νεκρῶν τοὺς τάφους. Ὅρα δὲ καὶ τὸν θεῖον Χρυσόστομον (λόγ. λς'. εἰς τὸν Λάζαρον σελ. 234. τοῦ έ. τόμ.), πῶς ἐλέγχει ἐκείνους τοὺς ἀνοήτους. ὁποῦ νομίζουν πῶς γίνονται δαιμόνια. ταὐτὸν εἰπεῖν, Βρικόλακες, αἱ ψυχαὶ ἐκείνων ὁποῦ φονευθοῦν, ἢ κρεμασθοῦν, ἢ μὲ βίαιον θάνατον ἀποθάνουν· λέγει γὰρ εἰς αὐτοὺς, ὅτι δὲν γίνονται αἱ ψυχαὶ τῶν τοιούτων δαιμόνια ἢ βρικόλακες, ἀλλ' ἐκείνων τῶν Χριστιανῶν ὁποῦ ζοῦν εἰς ἁμαρτίας, καὶ ὁποῦ μιμοῦνται τὴν τῶν δαιμόνων κακίαν. Ὅρα καὶ σελ. 992. τοῦ β'. τόμ. τῶν Συνοδικῶν πρακτικ. πῶς ἦτον αἵρεσις τῶν Βογομίλων, ὅτι οἱ δαίμονες κατοικοῦν εἰς τὰ σώματα.

ΚΑΝΩΝ ΞΖ'.

«Ἡ ἀδελφομιξία τὸν τοῦ φονέως χρόνον ἐξομολογήσεται». || Βασιλ. οέ.

Ἑρμηνεία.

Εἰς τοῦτον μὲν τὸν Κανόνα ὁ Ἅγιος κανονίζει τὸν σμίξαντα μὲ τὴν αὐτοῦ ἀδελφὴν, ἀμφιθαλῆ οὖσαν, ἤτοι ἀπὸ τὸν αὐτὸν πατέρα καὶ μητέρα, ὡς φονέα ἑκούσιον, ἤτοι εἰς εἴκοσι χρόνους, κατὰ τὸν Ἀνώνυμον ἑρμηνευτὴν τῶν Κανόνων.

Συμφωνία.

Εἰς δὲ τὸν οέ. εἰς ἕνδεκα χρόνους κανονίζει τὸν σμίξαντα μὲ τὴν ἑτεροθαλῆ αὐτοῦ ἀδελφὴν, ἤτοι τὴν ἀπὸ πατέρα μόνον, ἢ τὴν ἀπὸ μητέρα μόνον οὖσαν, λέγων, ὅτι πρὸ τοῦ νὰ χωρισθῇ ἀπὸ τὴν ἀθέμιτον πρᾶξιν αὐτὴν, μέσα εἰς Ἐκκλησίαν νὰ μὴ ἔμβῃ, μετὰ δὲ τὸ χωρισθῆναι νὰ προσκλαίῃ τρεῖς χρόνους, νὰ ἀκροάζεται τρεῖς χρόνους, νὰ ὑποπίπτῃ τρεῖς χρόνους, καὶ δύω χρόνους νὰ στέκεται μὲ τοὺς πιστοὺς χωρὶς νὰ μεταλαμβάνῃ, καὶ οὕτω λοιπὸν νὰ ἀξιοῦται τῆς Κοινωνίας. Ὁ δὲ Νηστευτὴς εἰς γ' ἔτη κανονίζει τὸν τῇ ἰδίᾳ ἐπιμιγέντα ἀδελφῇ μετὰ ξηροφαγίας καὶ μετανοιῶν, ἐν τῷ ιδ'. αὐτοῦ Κανόνι.

ΚΑΝΩΝ ΞΗ'.

«Ἡ τῆς ἀπειρημένης συγγενείας εἰς γάμον ἀνθρώπων σύστασις, εἰ φωραθείη, ὡς ἐν ἁμαρτήμασιν ἀνθρώπων γινομένη, τὰ τῶν μοιχῶν ἐπιτίμια δέξεται» (1).

Ἑρμηνεία.

Γενικῶς ὁ Κανὼν οὗτος ἐπιτιμᾷ κάθε γάμον ὁποῦ γένῃ εἰς συγγενὲς πρόσωπον, ἐμποδισμένον ὑπὸ τοῦ νόμου, μὲ τὸ ἐπιτίμιον τῶν μοιχῶν, χωριζομένου δηλονότι τοῦ τοιούτου γάμου πρότερον, καὶ οὕτως ἐπιτιμωμένου. Φαίνεται δὲ, ὅτι μὲ τὸ ἐλαφρότερον ἐπιτίμιον τῆς μοιχείας τῶν πρὸ αὐτοῦ Πατέρων ἐπιτιμᾷ ὁ Βασίλειος ἐδῶ τοὺς ἀθεμίτους γάμους, ἤτοι ἑπτὰ μόνον χρόνους (περὶ οὗ ὅρα τὸν κ'. τῆς ἐν Ἀγκύρᾳ, καὶ κβ'. τοῦ αὐτοῦ Βασιλείου), καὶ ὄχι μὲ τὸ ἰδικόν του βαρύτερον, εἰς ιε' δηλαδὴ χρόνους, ἐπειδὴ προϊὼν εἰς τὸν οή. αὐτοῦ Κανόνα, ἑπτὰ χρόνους κανονίζει τὸν δύω ἀδελφὰς λαμβάνοντα.

ΚΑΝΩΝ ΞΘ'.

«Ἀναγνώστης, ἐὰν τῇ ἑαυτοῦ μνηστῇ πρὸ τοῦ γάμου συναλλάξειεν, ἑνιαυτὸν ἀργήσας, || Ἀπος. κς'. εἰς τὸ ἀναγινώσκειν δεχθήσεται, μένων ἀπρόκοπος, κλεψιγαμήσας δὲ ἄνευ μνηστείας, παυθήσεται τῆς ὑπηρεσίας. Τὸ αὐτὸ καὶ ὑπηρέτης».

Ἑρμηνεία.

Ἐὰν Ἀναγνώστης τινὰς σμίξῃ μὲ τὴν ἀρραβωνιστικήν του πρὸ τῆς τελεσιουργίας τοῦ γάμου, κἀκείνης θελούσης (τοῦτο γὰρ δηλοῖ τὸ συναλλάξειεν), ἕνα χρόνον κανονίζεται ἀπὸ τὸν παρόντα Κανόνα νὰ ἀργῇ ἀπὸ τὴν ὑπηρεσίαν του, ἔπειτα δέχεται πάλιν εἰς τὸ νὰ ἀναγινώσκῃ, εἰς μεγαλήτερον ὅμως βαθμὸν δὲν ἀναβιβάζεται, ἤτοι οὔτε Διάκονος, οὔτε Πρεσβύτερος γίνεται, διατὶ ἐμικροψύχησε καὶ δὲν ἐκαρτέρεσε νὰ τελεσθῇ ὁ γάμος. Ἐὰν δὲ σμίξῃ μὲ γυναῖκα, τὴν ὁποίαν δὲν εἶχεν ἀρραβωνιστικὴν, νὰ παύῃ ἀπὸ τὴν ὑπηρεσίαν, κἂν καὶ τυχὸν ἔδωκε λόγον εἰς αὐτὴν πρὸ τῆς μίξεως, διὰ νὰ τὴν πάρῃ γυναῖκα, κἂν καὶ μετὰ τὴν μίξιν ἔλαβεν αὐτὴν εἰς γυναῖκά του (τοῦτο γὰρ δηλοῖ τὸ κλεψιγαμήσας)· τοῦτο δὲ τὸ ἴδιον ἐπιτίμιον νὰ λαμβάνῃ καὶ ὅποιος ἄλλος ὑπηρέτης τῆς Ἐκκλησίας κάμῃ αὐτὸ (περὶ οὗ ὅρα τὴν τοῦ ιέ. τῆς ς'. ὑποσημείωσιν), ἢ ψάλτης εἶναι, ἢ θυρωρός (2). Ὅρα καὶ τὸν κς'. Ἀποστολικόν.

(1) Ἐν ἄλλοις δὲ Κώδηξιν ἄλλως εὑρίσκεται ὁ παρὼν Κανὼν, ἤτοι, «Ἐὰν γάμον τις συστήσηται ἐπὶ συγγενὲς πρόσωπον, πρὸς ὃ ἀπηγόρευται συνιστᾶν γάμον, τῷ τῆς μοιχείας ἐπιτιμίῳ κολασθήσεται, διασπώμενος καὶ τοῦ γάμου.»

(2) Διὰ τοῦτο καὶ Νικήτας ὁ Θεσσαλονίκης Χαρτοφύλαξ, ἀκολούθως μὲ τὸν παρόντα Κανόνα διορίζεται, ὅτι ἂν τινὰς Κληρικὸς σμίξῃ μὲ τὴν ἀρραβωνιαστικήν του πρὸ τῆς ἱερολογίας τοῦ γάμου, εἰ καὶ κλεψίγαμος δὲν εἶναι, νομίσας ὅτι εἶναι ἀρκετὸς τὸ νὰ σμιχθοῦν μόνος ὁ ἀρραβὼν, ὅμως οὔτος χειροτονίας δὲν ἀξιοῦται, ἀλλὰ καὶ ἂν ἐχειροτονήθη, καὶ μετὰ τὴν χειροτονίαν ἔλαβε τὴν τελείαν ἱερολογίαν τοῦ γάμου, πάλιν προκριματίζεται, ἤτοι καθαιρεῖται, καὶ διατὶ ἠγνόησεν, ὅτι εἶναι ἀρκετὸς εἰς σμίξιν μόνος ὁ ἀρραβὼν, καὶ διατὶ οὐδεὶς μετὰ τὴν χειροτονίαν ἱερολογεῖται εἰς γάμον (σελ. 346. τοῦ Γιοὺρ. Γραικορ.). Ὅρα δὲ, ὅτι ὁ ὑπηρέτης ἐνταῦθα φανερῶς οὐκ ἔστιν ὁ Ὑποδιάκονος, ἐπειδὴ εἰς αὐτὸν δὲν εἶναι ἄδεια νὰ ὑπανδρεύεται μετὰ τὴν χειροτονίαν, κατὰ τὸν ς'. τῆς ς'.

ΚΑΝΩΝ Ο'.

«Διάκονος ἐν χείλεσι μιανθεὶς, καὶ μέχρι τούτου ἡμαρτηκέναι ὁμολογήσας, τῆς λειτουργίας ἐπισχεθήσεται. Τοῦ δὲ μετέχειν τῶν Ἁγιασμάτων μετὰ τῶν Διακόνων ἀξιωθήσεται, τὸ αὐτὸ δὲ καὶ Πρεσβύτερος. Εἰ δέ τι πλέον τούτου φωραθείη ἡμαρτηκὼς, ἐν οἵῳ ἂν εἴη βαθμῷ, καθαιρεθήσεται».

Ἑρμηνεία.

Διορίζεται ὁ παρὼν Κανὼν, ὅτι ἀνίσως Διάκονος τινὰς μιανθῇ μὲ τὰ χείλη, ἤγουν φθάσῃ ἕως εἰς ἐμπαθὲς καὶ ἐρωτικὸν φίλημα μόνον γυναικὸς (μίασμα γὰρ καὶ ἀκαθαρσία τοῦτό ἐστι ψυχῆς· διότι, ἂν μόνη ἡ συγκατάθεσις πρὸς τὴν ἁμαρτίαν μολύνῃ καὶ μιαίνῃ τὴν ψυχὴν, πολλῷ μᾶλλον τὸ ἐμπαθὲς φίλημα), ἂν, λέγω, Διάκονος τοῦτο ποιήσῃ καὶ ἐξομολογηθῇ, ὅτι ἕως τούτου μόνον ἥμαρτε, νὰ ἀργίζεται μὲν πρὸς καιρὸν ἀπὸ τὴν διακονίαν του, ἐν ὅσῳ δὲ καιρῷ εὑρίσκεται ἀργὸς, νὰ μεταλαμβάνῃ ὁμοῦ μὲ τοὺς λοιποὺς ἀνεπιτιμήτους Διακόνους ἐντὸς τοῦ βήματος. Τοῦτο τὸ ἴδιον ἐπιτίμιον νὰ λαμβάνῃ καὶ ὁ Ἱερεὺς ὁποῦ ἁμαρτήσῃ παρομοίως μέχρι μόνου ἐμπαθοῦς φιλήματος (1). Εἰ δὲ καὶ περισσότερόν τι ἀπὸ τὸ ἐμπαθὲς φίλημα ἤθελεν ἁμαρτήσει Ἱερεὺς ἢ Διάκονος, συγκυλισμὸν τυχὸν, ἢ καὶ συνουσίαν, καὶ ὁμολογήσει αὐτὸ, νὰ καθαίρεται καὶ ὁ ἕνας καὶ ὁ ἄλλος (2).

ΚΑΝΩΝ ΟΑ'.

Τῆς ἐν Ἀγκυρ. κε'. «Ὁ συνεγνωκὼς ἑκάστῳ τῶν προειρημένων ἁμαρτημάτων καὶ μὴ ὁμολογήσας, ἀλλ' ἐλεγχθεὶς, τοῦ τοσούτου χρόνου, εἰς ὃν ὁ ἐργάτης τῶν κακῶν ἐπιτετίμηται, καὶ αὐτὸς ἔσται ἐν ἐπιτιμίῳ».

Ἑρμηνεία.

Ἀφ' οὗ ὁ Ἅγιος εἶπε περὶ ἁμαρτημάτων Πρεσβυτέρων, Διακόνων καὶ τῶν λοιπῶν Ἐκκλησιαστικῶν, τώρα εἰς τοῦτον τὸν Κανόνα λέγει ὅτι, ὅποιος ἠξεύρει ὅτι οὗτοι πάντες ἁμαρτάνουσι, καὶ δὲν ὁμολογήσει τοῦτο μυστικῶς εἰς τὸν Ἀρχιερέα διὰ νὰ διορθώσῃ αὐτοὺς, ἢ καὶ αὐτὸς δυνάμενος νὰ τοὺς ἐμποδίσῃ ἀπὸ τὴν ἁμαρτίαν μὲ μυστικὴν ὑπόμνησιν, σκεπάζει τοῦτο καὶ σιωπᾷ, ἐὰν οὗτος, λέγω, φανερωθῇ μετὰ ταῦτα, ὅτι ἤξευρε μέν, ἐσιώπα δὲ καὶ ἐσκέπαζε ταῦτα, νὰ κανονίζεται καὶ αὐτὸς ἐξίσου, τόσον καιρὸν νὰ ἀπέχῃ τῆς Κοινωνίας, ὅσον καιρὸν ἐκανονίσθη καὶ ὁ τὴν ἐγνωσμένην ὑπ' αὐτοῦ ἁμαρτίαν ποιήσας. Ὅρα καὶ τὸν κέ. τῆς ἐν Ἀγκύρᾳ, καὶ τὴν ὑποσημείωσιν τοῦ γ'. τοῦ Θαυματουργοῦ Γρηγορίου.

ΚΑΝΩΝ ΟΒ'.

Τῆς ς'. ξέ. «Ὁ μάντεσιν ἑαυτὸν ἐπιδοὺς ἤ τισι τοιούτοις, τὸν χρόνον τῶν φονέων καὶ αὐτὸς ἐπιτιμηθήσεται».

Ἑρμηνεία.

Ὁ παρὼν Κανὼν κανονίζει, ὡς τοὺς ἑκουσίως φονεύσαντας, ἤτοι εἴκοσι χρόνους, κατὰ τὸν Ἀνώνυμον ἑρμη-

(2) Ἄλλοι δὲ ἐπίσχεσιν τῆς λειτουργίας λέγουσι τὴν παντοτινὴν καὶ τελείαν καθαίρεσιν, μὲ τὸ νὰ μὴ ἐδιωρίσθη παρὰ τοῦ Ἁγίου ὁ καιρὸς τῆς ἀργίας. Τὸ δὲ νὰ ἀξιοῦται νὰ μεταλαμβάνῃ μετὰ τῶν Διακόνων ὁ μιανθεὶς Διάκονος, τοῦτο ἔγινε διὰ τὸ ἐλαφρὸν τοῦ ἁμαρτήματος. Τὴν δὲ καθαίρεσιν, ὁποῦ ἐπάγει ὁ Ἅγιος εἰς τὸν περισσότερόν τι ἀπὸ τὸ φίλημα ἁμαρτήσαντα, λέγουσι νὰ ἦναι ἡ τελεία τοῦ βαθμοῦ ἔκπτωσις, καὶ τὸ μὴ μεταλαμβάνειν τοῦ λοιποῦ μετὰ τῶν Διακόνων ἐντὸς τοῦ βήματος, ἀλλὰ μετὰ τῶν λαϊκῶν. Ταῦτα μὲν οὗτοι, ἀλλ' ἡ ἀνωτέρα δόξα καὶ γνώμη κρείττων ἐστὶν ὡς φιλανθρωποτέρα· δι' ὃ καὶ μᾶλλον ἐγκρίνεται παρὰ τοῦ Ζωναρᾶ. Φαίνεται γὰρ ὅτι κατ' αὐτὸν ἡ χάρις ἐρρύσατο ἐκ τῆς τελείας πράξεως τῆς ἁμαρτίας, κατὰ τὸν ἐπιθυμήσαντα καὶ συγκατατιθέμενον νὰ κοιμηθῇ μὲ γυναῖκα καὶ μὴ κοιμηθέντα, ὡς λέγει ὁ δ'. τῆς ἐν Νεοκαισαρείᾳ· ὃν δὲ ἡ χάρις ἐρρύσατο, δὲν εἶναι δίκαιον νὰ κατακρίνῃ τινὰς μὲ τοιαύτην βαρεῖαν κατάκρισιν τῆς καθαιρέσεως. Τινὲς δὲ λέγουσιν, ὅτι καθὼς ὁ πλέον τοῦ φιλήματος συγκυλισμὸς καθαιρεῖ τοὺς Ἱερεῖς, μετὰ τὴν χειροτονίαν γινόμενος κατὰ τὸν Κανόνα τοῦτον, οὕτω καὶ πρὸ τῆς χειροτονίας γινόμενος, κωλύει εἰς τὸ νὰ ἱερωθῇ τινάς· ὥσπερ γὰρ τὸ λαβεῖν χρήματα, εἴτε πρὸ τῆς χειροτονίας, εἴτε μετὰ τὴν χειροτονίαν γινόμενον, λαβεῖν ἐστι κατὰ τὸν ι'. τοῦ αὐτοῦ Βασιλείου. Οὕτω καὶ ὁ μῶμος οὗτος, εἴτε πρὸ τοῦ γένῃ, εἴτε μετὰ τὴν χειροτονίαν, μῶμός ἐστιν, ἡ δὲ Ἐκκλησία τοὺς ἀμώμους καὶ ἀνεπιλήπτους θέλει νὰ γίνωνται Ἱερεῖς κατὰ τὸν θ'. τῆς ά.

(2) Προσυπακούεται ἐδῶ, ὅτι οὔτε μεταλαμβάνουν μετὰ τῶν Διακόνων καὶ Πρεσβυτέρων ἐντὸς τοῦ βήματος, ὡς τὸ πρότερον, οἱ καθαιρεθέντες· ὅρα δὲ τὸν Κανόνα τοῦτον πῶς παιδεύει τοὺς καὶ μόνον ἀφ' ἑαυτῶν ὁμολογήσαντας τὸ ἁμάρτημα ὁποῦ ἔκαμαν Πρεσβύτερον καὶ Διάκονον, καὶ οὐχὶ παρ' ἄλλων φανερωθέντας, συμφώνως μὲ τὸν θ'. τῆς ά. καὶ θ'. τῆς ἐν Νεοκαισαρείᾳ, οὓς καὶ ἀνάγνωθι. Ὁμοίως ἀνάγνωθι καὶ τὴν ὑποσημ. τοῦ κς'. τῆς ς'.

νευτὴν, ἐκείνους ὁποῦ δώσουν ὅλως διόλου τὸν ἑαυτόν τους εἰς τοὺς μάντεις καὶ τοὺς τοιούτους γόητας ἀνθρώπους. Ὅρα καὶ τὸν ξά. τῆς ς'.

ΚΑΝΩΝ ΟΓ'.

«Ὁ τὸν Χριστὸν ἀρνησάμενος καὶ παραβὰς τὸ τῆς σωτηρίας Μυστήριον, ἐν παντὶ τῷ χρόνῳ τῆς ζωῆς αὐτοῦ προσκλαίειν ὀφείλει καὶ ἐξομολογεῖσθαι χρεωστεῖ ἐν τῷ καιρῷ, ᾧ ἐκβαίνει τοῦ βιοῦν, τῶν Ἁγιασμάτων ἀξιούμενος, πίστει τῆς παρὰ Θεοῦ φιλανθρωπίας».

Ἑρμηνεία.

Ὁ παρὼν Κανὼν ἀορίστως κάθε χριστιανὸν ὁποῦ ἀρνηθῇ τὸν Χριστὸν (θεληματικῶς δηλ.) κανονίζει ὅλην του τὴν ζωὴν νὰ μὴ εἰσέρχεται εἰς τὴν Ἐκκλησίαν, ἀλλὰ ἔξω τῆς θύρας τῆς Ἐκκλησίας νὰ προσκλαίῃ, καὶ μόνον εἰς τὸ τέλος τῆς ζωῆς του νὰ μεταλαμβάνῃ τὰ θεῖα Μυστήρια. Ὅρα καὶ τὸν ιά. τῆς ά. (1).

ΚΑΝΩΝ ΟΔ'.

«Ἐὰν μέντοι ἕκαστος τῶν ἐν τοῖς προγεγραμμένοις ἁμαρτήμασι γενομένων, σπουδαῖος γένηται, ἐξομολογούμενος, ὁ πιστευθεὶς παρὰ τῆς τοῦ Θεοῦ, φιλανθρωπίας λύειν καὶ δεσμεῖν, εἰ φιλανθρωπότερος γένοιτο, τὸ ὑπερβάλλον τῆς ἐξομολογήσεως ὁρῶν τοῦ ἡμαρτηκότος εἰς τὸ ἐλαττῶσαι τὸν χρόνον τῶν ἐπιτιμίων, οὐκ ἔστι καταγνώσεως ἄξιος, τῆς ἐν ταῖς Γραφαῖς ἱστορίας γνωριζούσης ἡμῖν, τοὺς μετὰ μείζονος πόνου ἐξομολογουμένους, ταχέως τὴν τοῦ Θεοῦ φιλανθρωπίαν καταλαμβάνειν».

Ἑρμηνεία.

Ἀπαριθμήσας ὁ Ἅγιος διαφόρους χρόνους ἐπιτιμίου, ἀνήκοντας πρὸς διάφορα ἁμαρτήματα, τελευταῖον εἰς τοῦτον τὸν Κανόνα τὸ πᾶν ἀφιερόνει εἰς τὸν Ἀρχιερέα καὶ πνευματικὸν, τοὺς λύειν καὶ δεσμεῖν τοὺς ἁμαρτωλοὺς τὴν ἐξουσίαν ἔχοντας, καὶ λέγει ὅτι, ἂν βλέπουν τοὺς ἁμαρτήσαντας μὲ θερμότητα καὶ προθυμίαν μετανοοῦντας, δὲν εἶναι ἀξιοκατηγόρητοι, ἂν ὀλιγοστεύσουν εἰς αὐτοὺς τοὺς χρόνους τῶν ἐπιτιμίων, ἐπειδὴ ἡ θεία Γραφὴ μᾶς διδάσκει, ὅτι ὀγλίγωρα φθάνει τὸ ἔλεος τοῦ Θεοῦ ἐκείνους, ὁποῦ μὲ μεγαλήτερον πόνον τῆς καρδίας μετανοοῦν, τὸ ὁποῖον μάλιστα ἠκολούθησεν εἰς τὸν Ἐζεκίαν καὶ Μανασσῆν. Ὅρα καὶ τὸν ιβ'. τῆς ά.

ΚΑΝΩΝ ΟΕ'.

«Ὁ ἀδελφῇ ἰδίᾳ ἐκ πατρὸς, ἢ ἐκ μητρὸς συμμιανθείς, εἰς οἶκον προσευχῆς μὴ ἐπιτρεπέσθω συμπαρεῖναι, ἕως ἂν ἀποστῇ τῆς παρανόμου καὶ ἀθεμίτου πράξεως. Μετὰ δὲ τὸ ἐλθεῖν εἰς συναίσθησιν τῆς φοβερᾶς ἁμαρτίας, τριετίαν προσκλαιέτω, τῇ θύρᾳ τῶν εὐκτηρίων οἴκων παρεστὼς, καὶ δεόμενος τοῦ λαοῦ εἰσιόντος ἐπὶ τὴν προσευχὴν, ὥστε ἕκαστον μετὰ συμπαθείας ὑπὲρ αὐτοῦ ἐκτενεῖς ποιεῖσθαι πρὸς Κύριον τὰς δεήσεις. Μετὰ δὲ τοῦτο ἄλλην τριετίαν εἰς ἀκρόασιν μόνην παραδεχθήτω, καὶ ἀκούων τῆς Γραφῆς καὶ τῆς διδασκαλίας, ἐκβαλλέσθω καὶ μὴ καταξιούσθω προσευχῆς. Ἔπειτα, εἴπερ μετὰ δακρύων ἐξεζήτησεν αὐτὴν καὶ προσέπεσε τῷ Κυρίῳ μετὰ συντριμμοῦ καρδίας καὶ ταπεινώσεως ἰσχυρᾶς, δεδόσθω αὐτῷ ὑπόπτωσις ἐν ἄλλοις τρισὶν ἔτεσιν, καὶ οὕτως, ἐπειδὰν τοὺς καρποὺς τῆς μετανοίας ἀξίους ἐπιδείξηται, τῷ δεκάτῳ ἔτει εἰς τὴν πιστῶν εὐχὴν δεχθήτω, χωρὶς προσφορᾶς, καὶ δύω ἔτη συστὰς εἰς τὴν εὐχὴν τοῖς πιστοῖς· οὕτω λοιπὸν καταξιούσθω τῆς τοῦ ἀγαθοῦ κοινωνίας».

Ἑρμηνεία.

Τοῦτον τὸν Κανόνα ἑρμηνεύσαμεν εἰς τὸν ξζ'. τοῦ αὐτοῦ Βασιλείου, καὶ ὅρα τὴν ἑρμηνείαν αὐτοῦ ἐκεῖ.

(1) Διὰ τί οἱ μὲν ἄλλοι Πατέρες οἱ πρὸ τοῦ Βασιλείου οὐδένα ἀρνησίχριστον ἐποίησαν εἰς ὅλην του τὴν ζωὴν ἀκοινώνητον, ὁ δὲ Βασίλειος τοῦτο ἐν τῷ παρόντι Κανόνι ποιεῖ; καὶ ἁπλῶς εἰπεῖν, διὰ τί ἐκεῖνοι μὲν ἐλαφρότερα ἐπιτίμια κατὰ τῶν ἁμαρτανόντων διώρισαν, οὗτος δὲ ὁ Ἅγιος, ἀλλὰ δὴ καὶ ὁ ἀδελφὸς αὐτοῦ Νύσσης, βαρύτερα; Λύων τὴν ἀπορίαν ταύτην ὁ Ζωναρᾶς λέγει, ὅτι ἕκαστος τῶν Πατέρων, κατὰ τοὺς ἰδίους του καιροὺς, ἔδοσι καὶ τὰ ἐπιτίμια ἀνάλογα ἐδιώρισεν. Οἱ γὰρ ἐν τοῖς καιροῖς τῶν διωγμῶν εὑρισκόμενοι Πατέρες, οἷος ὁ Πέτρος καὶ οἱ ἐν Ἀγκύρᾳ Πατέρες, διὰ τὴν ἀνάγκην τῶν διωγμῶν, συγκαταβατικώτερα τὰ ἐπιτίμια τῶν ἀρνησιχρίστων ἐποίησαν, ὅτε ἀκόμη ἡ πίστις ἀστήρικτος ἦν. Ὁ δὲ Βασίλειος, ἐν καιρῷ τοῦ πλατυσμοῦ τῆς πίστεως ὤν, ὅτε ὁ ἑλληνισμὸς ἔπνεε τὰ λοίσθια, καὶ ἡ πίστις σφοδροτέρα, καὶ ἡ Ἐκκλησία κραταιοτέρα ἦτο, καὶ οἱ ἀρνούμενοι τὸν Χριστὸν χωρὶς βίας καὶ ἑκουσίως τὸν ἠρνοῦντο, διὰ τοῦτο καὶ αὐστηρότερον τὸν Κανόνα τοῦτον ἐξέθετο. Ὅτι δὲ διὰ τὴν κραταίωσιν τῆς Ἐκκλησίας, ἀκριβέστερα πρέπει νὰ δίδωνται εἰς τοὺς ἁμαρτάνοντας καὶ τὰ ἐπιτίμια, μάρτυς ὁ ιη'. τοῦ αὐτοῦ Βασιλείου.

ΚΑΝΩΝ ΟΣ'.

«Ὁ αὐτὸς τύπος καὶ περὶ τῶν τὰς νύμφας ἑαυτῶν λαμβανόντων».

Ἑρμηνεία.

Παρομοίως μὲ τὸν σμίξαντα μὲ τὴν ἑτεροθαλῆ του ἀδελφήν, ὁ παρὼν Κανὼν κανονίζει τὸν λαβόντα εἰς γυναῖκα τὴν νύμφην του, ἤτοι ἔνδεκα χρόνους, καὶ μὲ τὴν αὐτὴν οἰκονομίαν τῶν χρόνων, πρότερον δηλαδὴ χωριζομένου τοῦ ἀθεμίτου γάμου. Ὁ δὲ Νηστευτὴς ἐν τῷ ιέ. αὐτοῦ Κανόνι δύω χρόνους τὸν τοιοῦτον κανονίζει μετὰ ξηροφαγίας καὶ μετανοιῶν.

ΚΑΝΩΝ ΟΖ'.

«Ὁ μέντοι καταλιμπάνων τὴν νομίμως συναφθεῖσαν αὐτῷ γυναῖκα, καὶ ἑτέραν ἀγόμενος, κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν, τῷ τῆς μοιχείας ὑπόκειται κρίματι. Κεκανόνισται δὲ παρὰ τῶν Πατέρων ἡμῶν, τοὺς τοιούτους ἐνιαυτὸν προσκλαίειν, διετίαν ἐπακροᾶσθαι, τριετίαν ὑποπίπτειν, τῷ ἑβδόμῳ συνίστασθαι τοῖς πιστοῖς, καὶ οὕτω τῆς προσφορᾶς καταξιοῦσθαι, ἐὰν μετὰ δακρύων μετανοήσωσι». [Ματθ. έ. 32. καὶ ιθ'. 7. Μάρκ. ί. 11. Λουκ. ις'. 18].

Ἑρμηνεία.

Ὁ Κανὼν οὗτος αὐτολεξεὶ ἐρανίσθη ἀπὸ τὸν πζ'. τῆς ς'. Κανόνα, καὶ ὅρα τὴν ἑρμηνείαν αὐτοῦ ἐκεῖ.

ΚΑΝΩΝ ΟΗ'.

Νεοκαισ. β'. ‖ «Ὁ αὐτὸς κρατείτω τύπος καὶ ἐπὶ τῶν δύω ἀδελφὰς λαμβανόντων εἰς συνοικέσιον, εἰ καὶ κατὰ διαφόρους χρόνους».

Ἑρμηνεία.

Παρομοίως μὲ τὸν ἀφήσαντα τὴν γυναῖκά του καὶ λαβόντα ἄλλην, κανονίζει ὁ παρὼν Κανὼν ἐκεῖνον ὁποῦ ἀφ' οὗ ἀποθάνῃ ἡ γυναῖκά του, πάρῃ τὴν ἀδελφήν της, ταὐτὸν εἰπεῖν, ἐκεῖνον ὁποῦ πάρῃ δύω ἀδελφὰς, ἑπτὰ χρόνους δηλαδὴ, οἵτινες ἐπιτίμιόν ἐστι τῆς μοιχείας ὡρισμένον παρὰ τῶν παλαιῶν (1).

ΚΑΝΩΝ ΟΘ'.

«Οἱ δὲ ταῖς μητρυιαῖς ἑαυτῶν ἐπιμενόμενοι, τῷ αὐτῷ ὑπόκεινται Κανόνι, ᾧ καὶ οἱ ταῖς ἑαυτῶν ἀδελφαῖς ἐπιμενόμενοι».

Ἑρμηνεία.

Ὁ παρὼν Κανὼν κανονίζει τοὺς σμίξαντας μὲ τὰς μητρυιάς των μὲ τὸν ὅμοιον Κανόνα τῶν σμιξάντων μὲ τὰς ἰδίας των ἀδελφὰς, δηλ. εἰ μὲν τὰς ἐξ ἑνὸς πατρὸς καὶ μητρὸς οὔσας. εἴκοσι χρόνους, κατὰ τὸν ξ'. εἰ δὲ μὲ τὰς ἀπὸ δύω πατέρας ἢ μητέρας οὔσας ἀδελφὰς, ἕνδεκα χρόνους, κατὰ τὸν οέ. τοῦ αὐτοῦ Βασιλείου.

ΚΑΝΩΝ Π'.

«Τὴν πολυγαμίαν οἱ Πατέρες ἀπεσιώπησαν, ὡς κτηνώδη καὶ παντελῶς ἀλλοτρίαν τοῦ γένους τῶν ἀνθρώπων. Ἡμῖν δὲ παρίσταται πλέον τι πορνείας εἶναι τὸ ἁμάρτημα, δι' ὃ εὔλογον τοὺς τοιούτους ὑποβάλλεσθαι τοῖς Κανόσι, δηλ. ἐνιαυτὸν προσκλαύσαντας, καὶ ἐν τρισὶν ὑποπεσόντας, οὕτω δεκτοὺς εἶναι».

Ἑρμηνεία.

Πολυγαμίαν φαίνεται νὰ ἐννοῇ ἐδῶ ὁ Κανὼν τὴν τριγαμίαν· οὕτω γὰρ οἱ Πατέρες τὸν τρίτον γάμον ὠνόμασαν, κατὰ τὸν δ'. τοῦ ἰδίου Βασιλείου. Λέγει λοιπὸν ὁ Κανὼν, ὅτι τὸν τρίτον τοῦτον γάμον οἱ προγενέστεροι Πατέρες ἀπεσιώπησαν, μὴ διορίσαντες περὶ αὐτοῦ νόμον καὶ ὅρον τινὰ, ἢ ἐπιτίμιον (τριγαμίας γὰρ νόμος

(1) Τὸ ἐπιτίμιον ὅμως αὐτὸ δίδοται εἰς αὐτοὺς, ἀφ' οὗ χωρίσουν τὸ ἄθεσμον συνοικέσιον, καὶ δεχθοῦν εἰς τοὺς τόπους τῶν μετανοούντων. Ἐν ὅσῳ δὲ στέργουν αὐτὸ, ἐξωθοῦνται καὶ ἀπὸ τὴν Ἐκκλησίαν, κατὰ τὸν δ'. τῆς ἐν Νεοκαισαρείᾳ, ὃν καὶ ἀνάγνωθι.

οὐκ ἔστιν, οὔτε νόμῳ τρίτος γάμος ἄγεται, κατὰ τὸν ν΄. τοῦ αὐτοῦ Βασιλείου), ἐπειδὴ καὶ ὁ γάμος οὗτος εἶναι ἴδιος τῶν κτηνῶν, καὶ ἀλλότριος τοῦ ἀνθρωπίνου γένους. Κοντὰ δὲ εἰς ἡμᾶς φαίνεται καὶ μεγαλήτερον ἁμάρτημα ἀπὸ τὴν πορνείαν. Ὅθεν καὶ εἶναι πρέπον οἱ τοιοῦτοι τριτογαμήσαντες, ἕνα μὲν χρόνον νὰ προσκλαίουν, καὶ τρεῖς νὰ ὑποπίπτουν, καὶ οὕτω νὰ μεταλαμβάνουν. (1) Ὅρα καὶ τὸν γ΄. τῆς ἐν Νεοκαισαρείᾳ.

ΚΑΝΩΝ ΠΑ΄.

Τῆς ά. ιδ΄. τῆς ς΄. ιθ΄. τῆς ἐν Ἀγκύρ. δ΄. ς΄. ἑ. Πέτρ. γ΄. Βασιλ. ογ΄. Νύσσης γ΄.

«Ἐπειδὴ πολλοὶ ἐν τῇ τῶν βαρβάρων καταδρομῇ παρέβησαν τὴν εἰς Θεὸν πίστιν, ὅρκους ἐθνικοὺς τελέσαντες, καὶ ἀθεμίτων τινῶν γευσάμενοι τῶν ἐν τοῖς εἰδώλοις, τοῖς μαγικοῖς προσενεχθέντων αὐτοῖς· οὗτοι κατὰ τοὺς ἤδη παρὰ τῶν Πατέρων ἐξενεχθέντας νόμους καὶ Κανόνας οἰκονομείσθωσαν. Οἱ μὲν γὰρ ἀνάγκην χαλεπὴν ἐκβασάνων ὑπομείναντες καὶ μὴ φέροντες τοὺς πόνους, καὶ ἑλκυσθέντες πρὸς τὴν ἄρνησιν, ἐν τρισὶν ἔτεσιν ἄδεκτοι ἔστωσαν, καὶ ἐν δυσὶν ἀκροάσθωσαν, καὶ ἐν τρισὶν ὑποπεσόντες οὕτω δεκτοὶ γενέσθωσαν εἰς τὴν κοινωνίαν. Οἱ δὲ ἄνευ ἀνάγκης μεγάλης προδόντες τὴν εἰς Θεὸν πίστιν, καὶ ἀψάμενοι τῆς τραπέζης τῶν δαιμονίων, καὶ ὁμόσαντες ὅρκους ἑλληνικοὺς, ἐκβαλλέσθωσαν μὲν ἐν τρισίν ἔτεσι καὶ δυσὶν ἀκροάσθωσαν, ἐν ὑποπτώσει δὲ εὐξάμενοι ἐν τρισὶν ἔτεσι, καὶ ἐν ἄλλοις τρισὶ συστάντες τοῖς πιστοῖς εἰς τὴν δέησιν, οὕτω δεκτοὶ ἔστωσαν τῇ τοῦ ἀγαθοῦ κοινωνίᾳ».

Ἑρμηνεία

Διορίζει ὁ παρὼν Κανὼν, ὅτι ὅσοι πιασθέντες ἐν τῇ τῶν βαρβάρων καταδρομῇ, καὶ ἀρνηθέντες τὴν εἰς τὸν ἀληθινὸν Θεὸν πίστιν, ἔκαμαν ὅρκους ἑλληνικοὺς ὁμόσαντες δηλ. εἰς τοὺς παρ' ἐκείνων πιστευομένους θεοὺς μὲ τὴν ὁμοίαν τῶν ἑλλήνων διάθεσιν, καὶ ἔφαγον βρώματα, ὁποῦ προσεφέρθησαν εἰς τὰ εἴδωλα μὲ μαγικὰς τέχνας καὶ τελετὰς, οὗτοι οἰκονομοῦνται κατὰ τοὺς Κανόνας τῶν Πατέρων (ἴσως τῶν ἐν Ἀγκύρᾳ). Καὶ ὅσοι μὲν βασανισθέντες σφοδρῶς καὶ μὴ ὑποφέροντες τοὺς πόνους ἠρνήθησαν, τρεῖς χρόνους νὰ μὴ δέχωνται, καὶ τρεῖς νὰ ὑποπίπτουν, τρεῖς νὰ στέκωνται μὲ τοὺς πιστοὺς, καὶ οὕτω νὰ μεταλαμβάνουν (2). Ὅρα καὶ τὸν ιδ΄. τῆς ά. καὶ τὸν δ΄. καὶ έ. τῆς ἐν Ἀγκύρᾳ.

ΚΑΝΩΝ ΠΒ΄.

«Περὶ δὲ τῶν ἐπιορκησάντων, εἰ μὲν ἐκ βίας καὶ ἀνάγκης παρέβησαν τοὺς ὅρκους, κουφοτέροις ὑπόκεινται ἐπιτιμίοις, ὥστε μετὰ ἓξ ἔτη πάντως αὐτοὺς δεκτοὺς εἶναι. Οἱ δὲ ἄνευ ἀνάγκης προδόντες τὴν ἑαυτῶν πίστιν, ἐν δυσὶν ἔτεσι προσκλαύσαντες, καὶ ἐν δυσὶν ἀκροασάμενοι, καὶ ἐν πέμπτῳ ἐν ὑποπτώσει εὐξάμενοι, καὶ ἐν δυσὶν ἄλλοις ἄνευ προσφορᾶς εἰς τὴν κοινωνίαν τῆς προσευχῆς παραδεχθέντες, οὕτω τελευταῖον ἀξιόλογον δηλ. μετάνοιαν ἐπιδειξάμενοι, ἀποκατασταθήσονται εἰς τὴν κοινωνίαν τοῦ σώματος τοῦ Χριστοῦ.»

(1) Σημείωσαι ὅτι δὲν λέγουν ὀρθῶς ἐκεῖνοι ὁποῦ θέλουσιν, ὅτι πολυγαμίαν ἐννοεῖ ἐδῶ ὁ Ἅγιος οὐχὶ τὴν τριτογαμίαν, ἀλλὰ τὴν τετραγαμίαν. καὶ ἁπλῶς τὸ ὑπὲρ τὸν τρίτον γάμον συνοικέσιον· ά. διατὶ, ὡς εἴπομεν, αὐτὸς ἑαυτὸν ἐξηγεῖ ὁ Ἅγιος ἐν τῷ δ΄. Κανόνι, πολυγαμίαν ὀνομάζων τὴν τριτογαμίαν, β΄. ὅτι, ἂν τῆς τριτογαμίας νόμος δὲν ἦναι, πῶς θέλει εἶναι τῆς τετραγαμίας; καὶ γ΄. διατὶ ἂν ἡ τετραγαμία οὕτω συγχωρῆται καὶ ἐλαφρῶς κανονίζεται, διὰ τί ὁ Πατριάρχης καὶ ἅπασα ἡ Σύνοδος δὲν ἐσυγχώρησαν τὸν Βασιλέα Λέοντα τετραγαμήσαντα; (καὶ ὅρα τὴν ὑποσημείωσιν τοῦ γ΄. τῆς ἐν Νεοκαισαρείᾳ) οὐδέποτε γὰρ ἡ Ἐκκλησία τὴν τετραγαμίαν ἐδέξατο. Ἀναθεματίζεται γὰρ ὁ τοῦτο εἰπὼν, καθὼς ἡ μετὰ τὸν τετραγαμήσαντα Λέοντα Σύνοδος ἀνεκήρυξε (σελ. 977. τοῦ β΄. τόμου τῶν Συνοδικῶν)· εἰπὼν δὲ ὅτι ἡ τριτογαμία εἶναι μεγαλητέρα ἀπὸ τὴν πορνείαν, διὰ τί ἐκανόνισεν αὐτὴν ὡς πορνείαν; Λύων τὴν ἀπορίαν ὁ Ζωναρᾶς λέγει, ὅτι ἴσως εἶναι μὲν ἡ ποσότης τῶν χρόνων καὶ τῶν δύω, ἡ δὲ οἰκονομία τῆς τριτογαμίας ταύτης βαρυτέρα εἶναι ἀπὸ τὴν τῆς πορνείας, καθ' ὅτι ἐν τῷ κβ΄. Κανόνι οἱ πορνεύοντες μὲν εἰς κάθε ἕνα χρόνον ἀπὸ τοὺς τέσσαρας, μεταβαίνουσιν ἀπὸ ἕνα τόπον τῶν μετανοούντων εἰς ἄλλον, οἱ δὲ τριτογαμήσαντες τρεῖς χρόνους ἐκανονίσθησαν νὰ ὑποπίπτουν, ἀλλ' ὄχι νὰ στέκωνται καὶ μὲ τοὺς πιστοὺς ὡς ἐκεῖνοι, ὅπερ ἐστὶ βαρύτερον ἐπιτίμιον.

(2) Οὐκ ἐναντιοῦται ὁ παρὼν Κανὼν εἰς τὸν ογ΄. ἐκεῖ μὲν γὰρ ὁ Ἅγιος κανονίζει τὸν ἀρνηθέντα, νὰ μὴ μεταλαμβάνῃ εἰς ὅλην του τὴν ζωὴν, αὐτὸς παρ' ἑαυτοῦ τὸ ἐπιτίμιον τοῦτο διορίσας, ἐδῶ δὲ οὕτω κανονίζει τοὺς ἀρνηθέντας μὲ ἀνάγκην, ἢ καὶ χωρὶς ἀνάγκην, ἀκολουθῶν εἰς τὰ παρὰ τῶν προγενεστέρων Πατέρων ἐπιτίμια. Ὁ γὰρ Ἅγιος οὕτος ἄλλοτε μὲν κανονίζει τοὺς ἁμαρτάνοντας, κατὰ τὰ ἐπιτίμια τῶν προτέρων Πατέρων, ἄλλοτε δὲ, κατὰ τὰ ἐδικά του ἐπιτίμια, ὡς τοῦτο δηλοῦται ἐν τῷ κβ΄. καὶ νθ΄. αὐτοῦ Κανόνι, ἐν τῷ ογ΄. καὶ ἐν τῷ παρόντι, ἐν τῷ ζ΄. καὶ πγ΄. καὶ ἐν ἄλλοις. Αὕτη δοκεῖ μοι ἡ ἀληθεστέρα αἰτία τῆς τῶν ἐπιτιμίων τοῦ αὐτοῦ ἁμαρτήματος διαφορᾶς, καὶ ὄχι ἐκείνη, ἣν λέγει ὁ Ζωναρᾶς, ὅτι ἐκεῖ μὲν ὁ χωρὶς ἀνάγκης ἀρνηθεὶς διὰ τοῦτο σφοδρότερα ἐπιτιμᾶται, ἐνταῦθα δὲ ὁ μετὰ ἀνάγκης, καὶ διὰ τοῦτο ἐλαφρότερα, εἰς καιρὸν ὁποῦ καὶ οἱ χωρὶς ἀνάγκης ἀρνηθέντες καὶ ἐδῶ περιέχονται.

Ἑρμηνεία

Ἐπειδὴ εἰς τὸν ξδ'. αὐτοῦ Κανόνα ὁ Ἅγιος οὗτος ἀπροσδιορίστως ἐκανόνισε τὸν ἐπίορκον δέκα χρόνους, τώρα εἰς τοῦτον τὸν Κανόνα κάμνει διαίρεσιν τῶν ἐπιόρκων, καὶ τοὺς μὲν ἐξ ἀνάγκης καὶ βίας ἐπιορκήσαντας εἰς ἓξ χρόνους κανονίζει, τοὺς δὲ χωρὶς ἀνάγκην προδόντας τὴν πίστιν αὐτῶν, ἤτοι ἐπιορκήσαντας (ἐπειδὴ πᾶς ὅρκος εἰς τὸ ὄνομα τοῦ Θεοῦ γίνεται, καὶ ἀκολούθως πᾶς ὁ τοῦτον παραβαίνων τὴν εἰς τὸν Θεὸν πίστιν αὐτοῦ παραβαίνει) εἰς ἕνδεκα χρόνους κανονίζει· δύω μὲν νὰ προσκλαίουν, δύω νὰ ἀκροῶνται, πέντε νὰ ὑποπίπτουν, δύω νὰ συνίστανται, καὶ οὕτω νὰ μεταλαμβάνουν (1). Ὅρα καὶ τὸν ξδ'. τῆς ς'.

ΚΑΝΩΝ ΠΓ'.

Οἱ καταμαντευόμενοι, καὶ ταῖς συνηθείαις τῶν ἐθνῶν ἐξακολουθοῦντες, ἢ εἰσάγοντές τινας εἰς τοὺς ἑαυτῶν οἴκους ἐπὶ ἀνευρέσει φαρμακειῶν καὶ καθάρσει, ὑπὸ τὸν κανόνα πιπτέτωσαν τῆς ἐξαετίας, ἑνιαυτὸν προσκλαύσαντες, καὶ ἑνιαυτὸν ἀκροασάμενοι, καὶ ἐν τρισὶν ἔτεσιν ὑποπίπτοντες. καὶ ἑνιαυτὸν συστάντες ἐν τοῖς πιστοῖς, οὕτω δεχθήσονται.»

Ἑρμηνεία

Ὁ παρὼν Κανὼν αὐτολεξεὶ εἶναι ἐρανισμένος ἀπὸ τὸν κδ'. τῆς ἐν Ἀγκύρᾳ, καὶ ὅρα τὴν ἑρμηνείαν αὐτοῦ ἐκεῖ. Τοῦτο μόνον διαφέρει ἀπὸ ἐκεῖνον, καθ' ὅτι, ἐκεῖνος μὲν εἰς πέντε χρόνους καὶ τούτους κατὰ διάφορον τρόπον οἰκονομεῖ, οὗτος δὲ εἰς ἓξ χρόνους κανονίζει τοὺς μαντευομένους, ἕνα μὲν χρόνον νὰ προσκλαίουν, ἕνα νὰ ἀκροῶνται, τρεῖς νὰ ὑποπίπτουν, ἕνα νὰ στέκουν μὲ τοὺς πιστούς, καὶ οὕτω νὰ μεταλαμβάνουν. Ὅρα δὲ ὅτι καὶ τοὺς μάντεις καὶ φαρμακοὺς ὡς φονεῖς ἐκανόνισεν ἐν τῷ ζ'. ὁ Ἅγιος, μὲ τὸ ἐδικόν του ἐπιτίμιον δηλ. ἐνταῦθα δὲ ἐλαφρὰ αὐτοὺς ἐκανόνισε, κατὰ τὰ ἐπιτίμια τῶν προτέρων Πατέρων. Ὅρα καὶ τὸν ξά. τῆς ς'.

ΚΑΝΩΝ ΠΔ'.

«Πάντα δὲ ταῦτα γράφομεν, ὥστε τοὺς καρποὺς δοκιμάζεσθαι τῆς μετανοίας. Οὐ γὰρ πάντως τῷ χρόνῳ κρίνομεν τὰ τοιαῦτα, ἀλλὰ τῷ τρόπῳ τῆς μετανοίας προσέχομεν. Ἐὰν δὲ δυσαποσπάστως ἔχουσι τῶν ἰδίων ἐθῶν, ταῖς ἡδοναῖς τῆς σαρκὸς μᾶλλον δουλεύειν θελήσωσιν, ἢ τῷ Κυρίῳ, καὶ τὴν κατὰ τὸ Εὐαγγέλιον ζωὴν μὴ παραδέχωνται, οὐδεὶς ἡμῖν πρὸς αὐτοὺς κοινὸς λόγος. Ἡμεῖς γὰρ ἐν λαῷ ἀπειθεῖ καὶ ἀντιλέγοντι δεδιδάγμεθα ἀκούειν, ὅτι σώζων, σῶζε τὴν σαυτοῦ ψυχήν.» [Γεν. ιθ'. 17].

Ἑρμηνεία.

Ἀφ' οὗ ὁ Ἅγιος διαφόρους χρόνους διαφόρων ἐπιτιμίων διώρισεν, ἐπιφέρει καὶ τὸν παρόντα Κανόνα. ὅτι πρέπει νὰ δοκιμάζωνται οἱ καρποὶ τῆς μετανοίας, ἐπειδὴ ἡμεῖς δὲν θεωροῦμεν τὰ ἐπιτίμια εἰς μόνους τοὺς τόσους ἢ τόσους χρόνους, ἀλλὰ προσέχωμεν εἰς τὴν διάθεσιν τῶν μετανοούντων (2). Ὥστε δηλ. ἂν μὲν προθύμως μετανοοῦν νὰ ἐλαττόνωνται οἱ χρόνοι, ἂν δὲ ἀμελῶς, νὰ αὐξάνωνται. Ἐὰν δὲ ἁμαρτάνοντες δὲν θέλουν νὰ κάμουν ἀποχὴν τῶν ἁμαρτιῶν καὶ ἡδονῶν τους, οὔτε θέλουν νὰ ζοῦν κατὰ τὸ Εὐαγγέλιον ὡς χριστιανοί, ἀλλὰ ἀπειθοῦσι καὶ ἀντιλέγουσι, τότε ἡμεῖς οἱ τῶν ψυχῶν αὐτῶν οἰκονόμοι Ἀρχιερεῖς καὶ Πνευματικοὶ δὲν πρέπει νὰ συγκοινωνῶμεν εἰς τὰς ἁμαρτίας αὐτῶν, ἀλλὰ νὰ πραιτοῦμεν αὐτούς. Ἀκούομεν γὰρ τῆς θείας Γραφῆς ὁποῦ λέγει· Σώζων, σῶζε τὴν σεαυτοῦ ψυχήν, ἤτοι, βλέπε μὴ κολάσῃς καὶ τὴν ψυχὴν τὴν ἰδικήν σου, συγκοινωνῶν μὲ τοὺς ἀδιορθώτους ἁμαρτωλούς.

ΚΑΝΩΝ ΠΕ'.

«Μὴ τοίνυν καταδεξώμεθα συναπόλλυσθαι τοῖς τοιούτοις, ἀλλὰ φοβηθέντες τὸ βαρὺ κρῖμα, καὶ τὴν

(1) Μερικοὶ λέγουσιν ὅτι εἰς μὲν τὸν δ'. Κανόνα δέκα χρόνους κανονίζει ὁ Ἅγιος τὸν ἐπίορκον. ἤτοι τὸν πολλαῖς φοραῖς ἐπιορκοῦντα. ἐδῶ δὲ τὸν ἐπιορκήσαντα κανονίζει, ἤτοι τὸν μίαν φορὰν (ἢ καὶ δύω) ἐπιορκήσαντα. ἀλλ' οὐκ ἀληθεύουσιν, ἐπειδὴ ἐδῶ καὶ οἱ ἅπαξ ἐπιορκήσαντες, ἐὰν μόνον χωρὶς ἀνάγκης ἐπιορκήσουν, ἕνδεκα χρόνους κανονίζονται, βαρύτερα, ἢ μᾶλλον εἰπεῖν παρομοίως μὲ τοὺς ἐν τῷ ξδ'. ἐπιόρκους. Ὥστε καὶ οἱ ἐκεῖσε ἐπίορκοι, ὡς οἱ ἐδῶ χωρὶς ἀνάγκην ἐπιορκήσαντες. πρέπει νὰ νοοῦνται ἀπαραλλάκτως, διὰ τὴν ὁμοιότητα τοῦ ἐπιτιμίου, κἂν καὶ εἰς ἐκείνους τὸ χωρὶς ἀνάγκης δὲν ἐπροσδιωρίσθη, ἀλλὰ πρέπει νὰ προσυπακούεται. Εἰ γὰρ ἦτο, καθὼς αὐτοὶ λέγουσιν, ἔπρεπεν ἐκεῖνοι βαρύτερα νὰ ἐπιτιμηθοῦν, ὡς πολλάκις ἐπιορκήσαντες, καὶ ὄχι οὗτοι οἱ ἅπαξ μόνον ἐπιορκήσαντες. Ὅτι δὲ τὸ ἅπαξ γινόμενον κακὸν ἐλαφρότερα κανονίζεται ἀπὸ τὸ πολλάκις γινόμενον, ὅρα τὴν ὑποσημείωσιν τοῦ ἡ. τῆς ἐν Ἀγκύρᾳ.

(2) Δι' ὃ καὶ ὁ θεῖος Χρυσόστομος συμφώνως λέγει· «Οὐ τοῦτο ζητῶ, χρόνου πλῆθος, ἀλλὰ ψυχῆς διόρθωσιν.» (Ὁμιλ. ιδ'.. τῆς β'. πρὸς Κορινθ.).

φοβερὰν ἡμέραν τῆς ἀνταποδόσεως τοῦ Κυρίου πρὸ ὀφθαλμῶν λαβόντες, μὴ θελήσωμεν ἁμαρτίαις ἀλλοτρίαις συναπόλλυσθαι. Εἰ γὰρ μὴ ἐπαίδευσεν ἡμᾶς τὰ φοβερὰ τοῦ Κυρίου, μηδὲ αἱ τηλικαῦται πληγαὶ εἰς αἴσθησιν ἡμᾶς ἤγαγον, ὅτι διὰ τὴν ἀνομίαν ἡμῶν ἐγκατέλιπεν ἡμᾶς ὁ Κύριος, καὶ παρέδωκεν ἡμᾶς εἰς χεῖρας βαρβάρων, καὶ ἀπήχθη αἱχμάλωτος εἰς τοὺς πολεμίους ὁ λαὸς, καὶ παρεδόθη τῇ διασπορᾷ· διότι ταῦτα ἐτόλμων οἱ τὸ ὄνομα τοῦ Χριστοῦ περιφέροντες· εἰ μὴ ἔγνωσαν μηδὲ συνῆκαν, ὅτι διὰ ταῦτα ἦλθεν ἐφ' ἡμᾶς ἡ ὀργὴ τοῦ Θεοῦ, τίς ἡμῖν κοινὸς πρὸς τούτους λόγος ; ἀλλὰ διαμαρτύρασθαι αὐτοῖς νυκτὸς καὶ ἡμέρας καὶ δημοσίᾳ καὶ ἰδίᾳ ὀφείλομεν, συναπάγεσθαι δὲ αὐτῶν ταῖς πονηρίαις μὴ παραδεχώμεθα, προσευχόμενοι μάλιστα μὲν κερδῆσαι αὐτοὺς, καὶ ἐξελέσθαι τῆς παγίδος τοῦ πονηροῦ· ἐὰν δὲ τοῦτο μὴ δυνηθῶμεν, σπουδάσωμεν τὰς γοῦν ἑαυτῶν ψυχὰς τῆς αἰωνίου κατακρίσεως περισώσασθαι».

Ἑρμηνεία.

Οὗτος ὁ Κανὼν παραινετικός ἐστι πρὸς τοὺς Ἀρχιερεῖς καὶ Πνευματικοὺς, παρακαλῶν αὐτοὺς καὶ λέγων· Τὸ λοιπὸν πρέπει ἡμεῖς οἱ τῶν ψυχῶν οἰκονόμοι νὰ φοβηθῶμεν τὴν κρίσιν καὶ ἀνταπόδοσιν τοῦ Κυρίου, νὰ μὴ συγκολαζώμεθα μὲ τὰς ξένας ἁμαρτίας τῶν τοιούτων ἀμετανοήτων καὶ ἀδιορθώτων ἁμαρτωλῶν, μεταχειριζόμενοι εἰς αὐτοὺς ὑπερβολικὴν συγκατάβασιν· διότι, ἀνίσως οἱ τὰς τοιαύτας ἁμαρτίας τολμῶντες νὰ κάμνουν Χριστιανοὶ, δι' αὐτὰς ἐγκατελείφθησαν ἀπὸ τὸν Θεὸν καὶ ἐσκλαβώθησαν εἰς τοὺς βαρβάρους, καὶ εἰς αἴσθησιν νὰ ἔλθουν δὲν ἐδυνήθησαν, οὔτε ἐγνώρισαν, ὅτι διὰ τὰς ἀνομίας αὐτῶν ἦλθεν εἰς αὐτοὺς ἡ τόσον μεγάλη πληγὴ, καὶ ἡ τόση ὀργὴ τοῦ Θεοῦ· ἂν, λέγω, τόσα κακὰ δὲν ἐδυνήθησαν νὰ διορθώσουν αὐτοὺς, ποίαν λοιπὸν κοινωνίαν θέλομεν ἔχει ἡμεῖς μὲ τοιοῦτον λαὸν σκληροτράχηλον ; βέβαια οὐδεμίαν. Ὅθεν χρέος μὲν ἔχομεν νὰ τοὺς διδάσκωμεν καὶ νὰ τοὺς ἐλέγχωμεν καθημερινῶς, καὶ κοινῶς καὶ κατ' ἰδίαν, καὶ νὰ παρακαλοῦμεν τὸν Θεὸν διὰ νὰ τοὺς ἐλευθερώσῃ ἀπὸ τὴν παγίδα τοῦ διαβόλου· ἂν δὲ δὲν δυνηθῶμεν αὐτοὺς νὰ ἐλευθερώσωμεν, πρέπει νὰ μὴ συγκρημνιζώμεθα καὶ ἡμεῖς μὲ τὰς πονηρίας των, ἀλλὰ κἂν τὸν ἑαυτόν μας νὰ σπουδάσωμεν διὰ νὰ λυτρώσωμεν ἀπὸ τὴν αἰώνιον κόλασιν (1).

Τοῦ αὐτοῦ, ἐξ ἄλλης πρὸς τὸν αὐτὸν Κανονικῆς Ἐπιστολῆς.

ΚΑΝΩΝ ΠΣ'.

«Τοῖς δὲ κομψοῖς Ἐγκρατευταῖς πρὸς τὸ σεμνὸν αὐτῶν πρόβλημα, διατὶ καὶ ἡμεῖς οὐχὶ πάντα ἐσθίομεν, ἐκεῖνα λεγέσθω, ὅτι καὶ τὰ περιττώματα ἡμῶν βδελυσσόμεθα. Κατὰ μὲν γὰρ τὴν ἀξίαν, λάχανα χόρτου ἡμῖν τὰ κρέα, [Γέν. θ'. 3.] κατὰ δὲ τὴν τῶν συμφερόντων διάκρισιν, ὡς καὶ ἐν λαχάνοις, τὸ βλαβερὸν τοῦ καταλλήλου χωρίζομεν. Οὕτω καὶ ἐν τοῖς κρέασι τοῦ χρησίμου τὸ βλαβερὸν διακρίνομεν. Ἐπεὶ λάχανόν ἐστι καὶ τὸ κώνειον, ὥσπερ κρέας ἐστὶ καὶ τὸ γύπειον· ἀλλ' ὅμως οὔτε ὑοσκύαμον φάγοι ἄν τις νοῦν ἔχων (2), οὔτε κυνὸς ἅψετο, μὴ μεγάλης ἀνάγκης κατεπειγούσης, ὥστε (3) ὁ φαγὼν οὐκ ἠνόμησε».

Ἑρμηνεία.

Τοῦτον τὸν Κανόνα σχεδὸν αὐτολεξεὶ ἡρμηνεύσαμεν εἰς τὴν ἑρμηνείαν τοῦ νά. Ἀποστολικοῦ, καὶ ὅρα τὴν ἑρμηνείαν αὐτοῦ ἐκεῖ. Περὶ δὲ τῶν Ἐγκρατευτῶν ἢ Ἐγκρατιτῶν, ὅρα εἰς τὰς ὑποσημειώσεις τοῦ μέ. τῆς ς'.

Τῆς πρὸς Διόδωρον Ἐπίσκοπον Ταρσοῦ Κανονικῆς Ἐπιστολῆς τοῦ αὐτοῦ

Προοίμιον.

Ἀφίκετο πρὸς ἡμᾶς γράμματα τὴν ὑπογραφὴν ἔχοντα Διοδώρου, τὰ δὲ ἐφεξῆς, ἄλλου τινὸς πρέποντα εἶναι, ἢ Διοδώρου. Δοκεῖ μοι γάρ τις τῶν τεχνικῶν τὸ σοῦ πρόσωπον ὑποδὺς, οὕτως ἑκυτὸν ἀξιόπιστον ἐθελῆσαι ποιῆσαι τοῖς ἀκροωμένοις, ὅς γε ἐρωτηθεὶς ὑπό τινων, εἰ θεμιτὸν αὐτὸν πρὸς γάμον τῆς τελευτησάσης αὐτῷ γυναικὸς τὴν ἀδελφὴν ἀγαγέσθαι, οὐκ ἔφριξε τὴν ἐρώτησιν, ἀλλὰ καὶ πρᾴως ἤνεγκε τὴν ἀκοὴν, καὶ τὸ ἀσελγὲς

(1) Σημείωσαι, ὅτι ὁ Ζωναρᾶς καὶ ὁ Βλάσταρις θέλουσι νὰ τελειώνουν οἱ Κανόνες τοῦ Βασιλείου ἕως τοῦ πε'. τούτου Κανόνος. Τὰ δὲ ἑξῆς ἀκόλουθα κανονικὰ ἐκ τῶν ἐπιστολῶν αὐτοῦ ὀνομάζουσιν, ὡς καὶ ἐν τῇ τῶν Παρισίων ἐκδόσει ἀριθμοῦνται οἱ Κανόνες τοῦ Βασιλείου, ἴσοι ὁηλαδὴ μὲ τοὺς τῶν ἁγίων Ἀποστόλων. Ἐπειδὴ ὅμως οἱ πε' Κανόνες οὗτοι ἐπιστολαί εἰσιν, ὡς καὶ αἱ ἀκόλουθοι, διὰ τοῦτο ἡμεῖς καὶ τὰς ἀκολούθους ἐπιστολὰς Κανόνας ἐπεγράψαμεν, ὡς καὶ τὰς προλαβούσας, διὰ τὸ προχειρότερον.

(2) Ὁ γὰρ φαγὼν τὸ κώνειον ἀποθνήσκει, ὁ δὲ τὸ ὑοσκύαμον παραφρονεῖ, κατὰ τοὺς βοτανικοὺς ἰατρούς.

(3) Ὡς ὅγε φαγὼν, ἐν ἄλλοις.

ἐπιθύμημα πάνυ γενναίως αὐτῷ καὶ ἀγωνιστικῶς συγκατέπραξεν. Εἰ μὲν οὖν παρῆν μοι τὸ γράμμα, αὐτὸ ἂν ἐπέστειλα, καὶ ἐξῆρκες σαυτῷ τε ἀμῦναι καὶ τῇ ἀληθείᾳ. Ἐπεὶ δὲ ὁ δείξας πάλιν ἀφείλετο, καὶ ὥσπερ τι τρόπαιον καθ' ἡμῶν περιέφερε κεκωλυκότων τὸ ἐξ ἀρχῆς ἔγγραφον, λέγων ἔχειν τὴν ἐξουσίαν, ἐπέστειλα νῦν σοι, ὥστε διπλῇ τῇ χειρὶ ἡμᾶς ἐλθεῖν ἐπὶ τὸν νόθον ἐκεῖνον λόγον, καὶ μηδεμίαν αὐτῷ ἰσχὺν καταλιπεῖν, ἵνα μὴ ἔχῃ βλάπτειν ῥᾳδίως τοὺς ἐντυγχάνοντας.

Ἑρμηνεία.

Φαίνεται ἐκ τοῦ προοιμίου τούτου καὶ ἐκ τοῦ κγ'. Κανόνος τοῦ Ἁγίου, ὅτι ὁ μὲν Θεῖος Βασίλειος δι' ἐπιστολῆς ἐμπόδισε νὰ μὴ λαμβάνῃ ἕνας καὶ ὁ αὐτὸς τὴν ἀδελφὴν τῆς ἀποθανούσης γυναικὸς αὐτοῦ, ταὐτὸν εἰπεῖν, νὰ μὴ λαμβάνῃ δύω ἀδελφάς, ὁ δὲ Διόδωρος οὗτος (1), ἐρωτηθεὶς ὑπό τινος ἂν συγχωρῆται νὰ λαμβάνῃ ταύτας, ἀπεκρίθη ἐγγράφως, ὅτι συγχωρεῖται. Ὅθεν ὁ ἐρωτήσας λαβὼν τὴν ἔγγραφον ἄδειαν ταύτην, ἐπῆγε καὶ τὴν ἔδειξεν εἰς τὸν μέγαν Βασίλειον. Διὰ τοῦτο ὁ Ἅγιος, θέλωντας νὰ ἐντροπιάσῃ εἰς ἄλλου πρότωπον τὸν Διόδωρον, καθὼς λέγει ὁ Ζωναρᾶς, γράφει εἰς αὐτὸν, ὅτι δὲν ἦτον ἀληθῶς τοῦ Διοδώρου ἐκείνη ἡ ἔγγραφος ἄδεια, ἀλλὰ πλαστὴ ἄλλου τινὸς, ὅστις διὰ νὰ φαίνεται ἀξιόπιστος εἰς τοὺς ἀκούοντας, ὑπέγραψε τὸ ὄνομα τοῦ Διοδώρου εἰς αὐτὴν (ἴσως δὲ καὶ κατὰ ἀλήθειαν ἄλλου τινὸς ἦτον αὕτη, καὶ οὐχὶ πῶς ἐκαμώθη τοῦτο ὁ Ἅγιος διὰ νὰ τὸν ἐλέγξῃ πλαγίως). Ὅθεν κοντὰ εἰς τὴν πρώτην ἐκείνην ἐπιστολὴν ἠναγκάσθη νὰ γράψῃ καὶ τὴν παροῦσαν, διὰ νὰ ἀνατρέψῃ κατὰ κράτος μὲ διπλῆν δύναμιν τὸ ἄθεσμον αὐτὸ συνοικέσιον.

ΚΑΝΩΝ ΠΖ'.

Πρῶτον μὲν οὖν, (ὃ καὶ μέγιστόν ἐστι) τὸ παρ' ἡμῖν ἔθος ἐπὶ τῶν τοιούτων προβάλλειν ἔχομεν, νόμου δύναμιν ἔχον, διὰ τὸ ὑπὸ ἁγίων ἀνδρῶν τοὺς θεσμοὺς ἡμῖν παραδεδῆναι. Τοῦτο δὲ τοιοῦτόν ἐστιν. Ἐάν τις πάθῃ ἀκαθαρσίας ποτὲ κρατηθεὶς ἐκπέσῃ πρὸς δυοῖν ἀδελφῶν ἄθεσμον κοινωνίαν, μήτε γάμον ἡγεῖσθαι τοῦτο, μήθ' ὅλως εἰς Ἐκκλησίας πλήρωμα παραδέχεσθαι πρότερον, ἢ διαλύσαι αὐτοὺς ἀπ' ἀλλήλων. Ὥστε, εἰ καὶ μηδὲν εἰπεῖν ἦν ἕτερον, ἐξῆρκει τὸ ἔθος πρὸς τὴν τοῦ κακοῦ φυλακήν. Ἐπεὶ δὲ ὁ τὴν ἐπιστολὴν γράψας ἐπιχειρήματι κιβδήλῳ κακὸν τοσοῦτον ἐπειράθη τῷ βίῳ ἐπαγαγεῖν (2), ἀνάγκη μηδὲ ἡμᾶς τῆς ἐκ τῶν λόγων βοηθείας ἀπέχεσθαι, καίτοι ἐπὶ τῶν σφόδρα ἐναργῶν, μείζων ἐστὶ τοῦ λόγου ἡ παρ' ἑκάστῳ πρόληψις. Γέγραπται, φησὶν, ἐν τῷ Λευϊτικῷ· «Γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς οὐ λήψῃ ἀντίζηλον, ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῆς ἐπ' αὐτῇ, ἔτι ζώσης αὐτῆς». [Λευϊτ. ιη'. 19.] Δῆλον οὖν ἐκ τούτου εἶναι, φησὶν, ὅτι συγχωρεῖται λαμβάνειν, τελευτησάσης τῆς ἀδελφῆς αὐτῆς. Πρὸς δὴ τοῦτο, πρῶτον μὲν ἐκεῖνο ἐρῶ, ὅτι ὅσα ὁ Νόμος λέγει, τοῖς ἐν τῷ Νόμῳ λαλεῖ, ἐπεὶ οὖτω γε καὶ περιτομῇ καὶ σαββάτῳ καὶ ἀποχῇ βρωμάτων ὑποκεισόμεθα. [Ρωμ. γ'. 19.] Οὐ γὰρ δὴ, ἐὰν μέν τι εὕρωμεν συντρέχον ἡμῶν ταῖς ἡδοναῖς, τῷ ζυγῷ τῆς δουλείας τοῦ νόμου ἑαυτοὺς ὑποθήσομεν, ἐὰν δέ τι φανῇ τῶν νομίμων βαρὺ, τότε πρὸς τὴν ἐν Χριστῷ ἐλευθερίαν ἀποδραμούμεθα. [Γαλάτ. ε. 1.] Ἠρωτήθημεν, εἰ γέγραπται λαμβάνειν γυναῖκα ἐπ' ἀδελφῇ· εἴπομεν, ὅπερ ἀσφαλὲς ἡμῖν καὶ ἀληθὲς, ὅτι οὐ γέγραπται. Τὸ δὲ ἐκ τῆς ἀκολούθου ἐπιφορᾶς τὸ σιωπηθὲν λογίζεσθαι, νομοθετοῦντός ἐστιν, οὐ τὰ τοῦ Νόμου λέγοντος. Ἐπειδὴ οὕτω γε ἐξέσται τῷ βουλομένῳ κατατολμῆσαι, καὶ ἔτι ζώσης τῆς γυναικὸς, λαμβάνειν τὴν ἀδελφήν. Τὸ γὰρ αὐτὸ τοῦτο σόφισμα καὶ ἐπ' ἐκείνῳ ἁρμόζει. Γέγραπται γὰρ, φησὶν, «οὐ λήψῃ ἀντίζηλον,» [Λευϊτ. αὐτόθ.] ὡς τήν γε ἔξω τοῦ ζήλου, λαβεῖν οὐκ ἐκώλυσεν. Ὁ δὲ συνηγορῶν τῷ πάθει, ἀζηλότυπον εἶναι διοριεῖται τὸ ἦθος τῶν ἀδελφῶν. Ἀνῃρημένης οὖν τῆς αἰτίας, δι' ἣν ἀπηγόρευσε τὴν ἀμφοτέρων συνοίκησιν, τί τὸ κωλύον ἔσται λαμβάνειν τὰς ἀδελφάς; ἀλλ' οὐ γέγραπται ταῦτα φήσομεν, ἀλλ' οὐδὲ ἐκεῖνο ὥρισται, ἡ δὲ ἔννοια τοῦ ἀκολούθου ὁμοίως ἀμφοτέροις τὴν ἄδειαν δίδωσιν. Ἔδει δὲ μικρὸν ἐπὶ τὰ κατόπιν τῆς νομοθεσίας ἐπαναδραμόντα, ἀπηλλάχθαι πραγμάτων. Ἔοικε γὰρ οὐ πᾶν εἶδος ἁμαρτημάτων περιλαμβάνειν ὁ νομοθέτης, ἀλλ' ἰδίως ἀπαγορεύειν τὰ τῶν Αἰγυπτίων, ὅθεν ἀπῆρεν ὁ Ἰσραὴλ, καὶ τὰ τῶν Χαναναίων, πρὸς οὓς μεθίστατο. Ἔχει γὰρ οὕτως ἡ λέξις· «Κατὰ τὰ ἐπιτηδεύματα τῆς Αἰγύπτου, ἐν ᾗ παρῳκήσατε ἐπ' αὐτῆς, οὐ ποιήσετε, καὶ κατὰ τὰ ἐπιτηδεύματα γῆς Χαναὰν, εἰς ἣν ἐγὼ εἰσάξω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε, καὶ τοῖς νομίμοις αὐτῶν οὐ πορεύσεσθε». [Αὐ-

(1) Ὁ Διόδωρος οὗτος, ὅστις καὶ Θεόδωρος καλεῖται παρὰ Φωτίῳ, Μοναχὸς ὢν πρότερον, καὶ τοῦ θείου Χρυσοστόμου χρηματίσας διδάσκαλος εἰς τὴν ἑρμηνείαν τῶν θείων Γραφῶν, Πρεσβύτερος τῆς Ἀντιοχείας ἐγένετο, καὶ Ταρσοῦ κατέστη Ἐπίσκοπος. Οὗτος κατὰ τὸν Θεοδώρητον μετὰ τοῦ Ἁγίου Φλαβιανοῦ πρῶτος διεμέρισε τοὺς δύω χορούς, καὶ τοὺς ἐδίδαξε νὰ ψάλλουν κατὰ διαδοχὴν τοὺς Ψαλμοὺς τοῦ Δαβίδ. Ἐπειδὴ ὅμως τὴν τοῦ Νεστορίου ἐνόσησεν αἵρεσιν. καὶ αὐτοῦ τοῦ Νεστορίου διδάσκολος ἐχρημάτισεν, ἀνεθεματίσθη μετὰ τοῦ Θεοδώρου τοῦ Μοψουεστίας ἀπὸ τὴν ἑ. Οἰκουμενικὴν Σύνοδον, κατὰ τὸν Φώτιον. Κώδικ. 18. ὅρα τὰ περὶ αὐτοῦ σελ. ιδ'. περὶ τῶν Ὑπομνηματιστῶν ἐν τῷ ά. τόμ. τῆς σειρᾶς.

(2) Ἴσ. ἐπεισαγαγεῖν.

τόθ. 3.] Ὥστε τοῦτο εἰκός που τὸ εἶδος τῆς ἁμαρτίας μὴ ἐμπολιτεύεσθαι τότε παρὰ τοῖς ἔθνεσι, δι' ὃ μηδὲ τῆς ἐπ' αὐτῷ φυλακῆς προσδεηθῆναι τὸν νομοθέτην, ἀλλ' ἀρκεσθῆναι τῷ ἀδιδάκτῳ ἔθει πρὸς τὴν τοῦ μίσους διαβολήν. Πῶς οὖν τὸ μεῖζον ἀπαγορεύσας, τὸ ἔλαττον ἀπεσιώπησεν; ὅτι ἐδόκει πολλοὺς τῶν φιλοσάρκων, πρὸς τὸ ζώσαις ἀδελφαῖς συνοικεῖν, τὸ ὑπόδειγμα βλάπτειν τοῦ Πατριάρχου. Ἡμᾶς δὲ τί χρὴ ποιεῖν; τὰ γεγραμμένα λέγειν, ἢ τὰ σιωπηθέντα περιεργάζεσθαι; Αὐτίκα τε μὴ δεῖν μιᾷ ἑταίρᾳ κεχρῆσθαι πατέρα καὶ υἱὸν, ἐν μὲν τοῖς νόμοις τούτοις οὐ γέγραπται, παρὰ δὲ τῷ Προφήτῃ μεγίστης κατηγορίας ἠξίωται. Υἱὸς γὰρ, φησὶ, καὶ πατὴρ πρὸς τὴν αὐτὴν παιδίσκην εἰσεπορεύοντο. [Ἀμὼς ϛ'. 7.] Πόσα δὲ εἴδη ἄλλα τῶν ἀκαθάρτων παθῶν, τὸ μὲν τῶν δαιμονίων διδασκαλεῖον ἐξεῦρον, ἡ δὲ θεία Γραφὴ ἀπεσιώπησε, τὸ σεμνὸν ἑαυτῆς ταῖς τῶν αἰσχρῶν ὀνομασίαις καταρρυπαίνειν οὐχ αἱρουμένη, ἀλλὰ γενικοῖς ὀνόμασι τὰς ἀκαθαρσίας διέλαβεν, ὡς ὁ Ἀπόστολος Παῦλός φησι· «Πορνεία δὲ καὶ ἀκαθαρσία πᾶσα, μὴ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις», [Ἐφέσ. έ. 3.] τῷ τῆς ἀκαθαρσίας ὀνόματι τάς τε τῶν ἀρρένων ἀρρητοποιΐας καὶ τὰς τῶν θηλειῶν περιλαμβάνων, ὥστε, οὐ πάντως ἡ σιωπὴ ἄδειαν φέρει τοῖς φιληδόνοις. Ἐγὼ δὲ οὐδὲ σεσιωπῆσθαι τὸ μέρος τοῦτό φημι, ἀλλὰ καὶ πάνυ σφοδρῶς ἀπηγορευκέναι τὸν νομοθέτην (1)· τὸ γὰρ «οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου ἀποκαλύψαι ἀσχημοσύνην αὐτῶν», [Λευϊτ. ιή. 6.] ἐμπεριεκτικόν ἐστι καὶ τούτου τοῦ εἴδους τῆς οἰκειότητος. Τί γὰρ ἂν γένοιτο ἀνδρὶ οἰκειότερον τῆς ἑαυτοῦ γυναικὸς, μᾶλλον δὲ τῆς ἑαυτοῦ σαρκός; «οὐ γὰρ ἔτι εἰσὶ δύω, ἀλλὰ σὰρξ μία,» [Ματθ. ιθ'. 6.] ὥστε διὰ τῆς γυναικὸς ἡ ἀδελφὴ αὐτῆς πρὸς τὴν τοῦ ἀνδρὸς οἰκειότητα μεταβαίνει. Ὡς γὰρ μητέρα γυναικὸς οὐ λήψεται, οὐδὲ θυγατέρα ταύτης, διότι μηδὲ ἑαυτοῦ μητέρα, μηδὲ τὴν ἑαυτοῦ θυγατέρα· οὕτως οὐδὲ ἀδελφὴν γυναικὸς, διότι μηδὲ ἀδελφὴν αὐτοῦ, καὶ τὸ ἀνάπαλιν, οὐδὲ γυναικὶ ἐξέσται τοῖς οἰκείοις τοῦ ἀνδρὸς συνοικεῖν· κοινὰ γὰρ ἐπ' ἀμφοτέρων τῆς συγγενείας τὰ δίκαια. Ἐγὼ δὲ παντὶ τῷ περὶ γάμου βουλευομένῳ διαμαρτύρομαι, ὅτι «παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου,» [ά. Κορινθ. ζ'. 29. 31.] καὶ ὁ καιρὸς συνεσταλμένος ἐστὶν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσιν. Ἐὰν δέ μοι παραγινώσκῃ τὸ, «αὐξάνεσθε καὶ πληθύνεσθε», [Γενέσ. ά. 28.] καταγελῶ τοῦ τῶν νομοθεσιῶν τοὺς καιροὺς μὴ διακρίνοντος. Πορνείας παραμύθιον ὁ δεύτερος γάμος, οὐχὶ ἐφόδιον εἰς ἀσέλγειαν. «Εἰ οὐκ ἐγκρατεύωνται, γαμησάτωσαν,» [ά. Κορινθ. ζ'. 9.] φησὶν, οὐχὶ δὲ καὶ γαμοῦντες παρανομείτωσαν. Οἱ δὲ, οὐδὲ πρὸς τὴν φύσιν ἀποβλέπουσι, τὴν ψυχὴν λημῶντες τῷ πάθει τῆς ἀτιμίας, πάλαι διακρίνασαν τὰς τοῦ γένους προσηγορίας. Ἐκ ποίας συγγενείας τοὺς γεννηθέντας προσαγορεύσουσιν; ἀδελφοὺς αὐτοὺς ἀλλήλων, ἢ ἀνεψιοὺς προσεροῦσιν; ἀμφότερα γὰρ αὐτοῖς προσαρμόσει διὰ τὴν σύγχυσιν. Μὴ ποιήσῃς, ὦ ἄνθρωπε, τὴν θείαν μητρυιὰν τῶν νηπίων, μήτε τὴν ἐν μητρὸς τάξει περιθάλπειν ὀφείλουσαν, ταύτην ἐφοπλίσῃς ταῖς ἀμειλίκτοις ζηλοτυπίαις· μόνον γὰρ τὸ μῖσος τῶν μητρυιῶν καὶ μετὰ θάνατον ἐλαύνει τὴν ἔχθραν. Μᾶλλον δὲ, οἱ μὲν ἄλλως πολέμιοι τοῖς τεθνηκόσι σπένδονται, αἱ δὲ μητρυαὶ τοῦ μίσους μετὰ θάνατον ἄρχονται. Κεφάλαιον δὲ τῶν εἰρημένων. Εἰ μὲν νόμῳ τις ὁρμᾶται πρὸς γάμον, ἥνοικται πᾶσα ἡ Οἰκουμένη, εἰ δὲ ἐμπαθὴς αὐτῷ ἡ σπουδὴ, διὰ τοῦτο καὶ πλέον ἀποκλεισθήτω, «ἵνα μάθῃ τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ μὴ ἐν πάθει ἐπιθυμίας». [ά. Θεσσαλ. δ'. 4. 5] Πλείονά με λέγειν ὠρμημένον, τὸ μέτρον ἐπέχει τῆς ἐπιστολῆς. Εὔχομαι δὲ, ἢ τὴν παραίνεσιν ἡμῶν ἰσχυροτέραν τοῦ πάθους ἀποδειχθῆναι, ἢ μὴ ἐπιδημῆσαι τῇ ἡμετέρᾳ τὸ ἄγος τοῦτο, ἀλλ' ἐν οἷς ἂν ἐτολμήθη τόποις, ἐναπομεῖναι.

Ἑρμηνεία. (2)

Ἀφ' οὗ ἐπροοιμίασε ταῦτα ὁ Ἅγιος, τώρα ἔρχεται εἰς τὸ νὰ ἀναιρέσῃ τὴν ψευδεπίπλαστον ἐκείνην ἔγγραφον ἄδειαν, τοῦ νὰ παίρνῃ εἷς καὶ ὁ αὐτὸς δύω ἀδελφάς· καὶ λέγει ὅτι, πρώτη ἀπόδειξις τοῦ νὰ μὴ γίνεται τὸ τοιοῦτον συνοικέσιον εἶναι ἡ συνήθεια, ὁποῦ ἐπεκράτησεν ἐν τῇ Ἐκκλησίᾳ, ἥτις δύναμιν νόμου ἔχουσα, ὡς ὑπὸ ἁγίων ἀνδρῶν παραδοθεῖσα (3). διορίζει οὕτως· ὅτι, ἂν τινας λάβῃ δύω ἀδελφὰς, τὸ τοιοῦτον μηδὲ νὰ νομίζεται γάμος, μήτε μέσα εἰς Ἐκκλησίαν αὐτοὶ νὰ δέχωνται πρὶν νὰ χωρισθοῦν, ὥστε, ἂν ἄλλον λογαριασμὸν δὲν εἴχομεν νὰ εἰποῦμεν ἐμποδίζοντα τὸ τοιοῦτον ἄθεσμον συνοικέσιον, μοναχὴ ἡ τῆς Ἐκκλησίας συνήθεια εἶναι ἀρκετὴ διὰ νὰ τὸ ἐμποδίσῃ. Ἐπειδὴ δὲ ὁ δείξας τὴν ψευδῆ τοῦ Διοδώρου ἐπιστολὴν, ἔφερεν εἰς βεβαίωσιν τοῦ ἀθέσμου τούτου συνοικεσίου μαρτυρίαν ἀπὸ τὸ Λευϊτικὸν, τὴν λέγουσαν· δὲν θέλεις λάβει ἀντίζηλον γυναῖκα τὴν ἀδελφὴν τῆς γυναικός σου, ἔτι ζωντανῆς οὔσης, καὶ ἀπὸ τοῦτο συμπεραίνει ὅτι, ἂν ὁ Νόμος ἐμποδίζῃ νὰ

(1) Ἐν ἄλλοις, ἀπηγόρευται τῷ νομοθέτῃ.

(2) Σημείωσαι ὅτι εἰς τὴν Ἐπιστολὴν ταύτην ἑρμηνείαν δὲν κάμνει ὁ Βαλσαμὼν, κρίνας αὐτὴν ὡς περιττὴν, καίτοι ὑπερεπαινῶν ταύτην. Ὁ δὲ Ζωναρᾶς ἔχει σύντομον ἑρμηνείαν, οὐχὶ ὅμως ἐν τῇ σειρᾷ τῶν Κανόνων κειμένην, ἀλλ' ἔν τισιν ἄλλοις σημειώμασιν. Ἡμεῖς δὲ μετὰ περιεργείας εἰς πλάτος αὐτὴν ἡρμηνεύσαμεν διὰ τὰ ἀξιοσημείωτα καὶ πολλοῦ ἄξια ὁποῦ περιέχει.

(3) Περὶ συνηθείας, ὅρα εἰς τὴν ὑποσημείωσιν τοῦ ά. τῆς ἐν Σαρδικῇ.

στάσεως, ἐπειδὴ, καθὼς ἡ περιφέρεια τοῦ κύκλου ἀπὸ τὸ αὐτὸ σημεῖον καὶ κέντρον ὁποῦ ἀρχινᾷ, εἰς αὐτὸ τὸ ἴδιον πάλιν τελειόνει, καὶ διὰ τοῦτο ὁ κύκλος φαίνεται ὡσὰν ἄναρχος καὶ ἀτελεύτητος, ἔτσι καὶ ἡ Πεντηκοστὴ ἀρχινᾷ ἀπὸ τὴν Κυριακὴν (τὴν λαμπροφόρον δηλ.) καὶ διὰ τῶν ἑμέσῳ ἓξ Κυριακῶν κυκλοφορουμένη, εἰς ὀγδόην Κυριακὴν πάλιν τελειόνει, δι' ὃ καὶ κατὰ τοῦτο ὁμοιάζει μὲ τὸν αἰῶνα, τοῦ ὁποίου εἶναι ἴδιον, κατὰ τὸν θεολόγον Γρηγόριον (λόγῳ εἰς τὴν Χριστοῦ γέννησιν), τὸ νὰ ἦναι ἄναρχος καὶ ἀτελεύτητος (1). Ὅθεν, διατὶ καὶ αὕτη εἶναι εἰκὼν τοῦ μέλλοντος αἰῶνος, διὰ τοῦτο οἱ Κανόνες τῆς Ἐκκλησίας (ὁ κ'. δηλ. τῆς ά. ὃν καὶ ἀνάγνωθι) μᾶς διορίζουν νὰ προσευχώμεθα ὄρθιοι καὶ ὄχι γονατιστοί. Ἵνα διὰ τοῦ ὀρθίου σχήματος μεταφέρωμεν τὸν νοῦν μας ἀπὸ τὸν παρόντα αἰῶνα ἐπὶ τὸν μέλλοντα, ὅτι καὶ κάθε γονυκλισία καὶ ἀνάστασις ὁποῦ κάμνομεν, δηλοῖ πῶς διὰ τῆς ἁμαρτίας εἰς τὴν γῆν κατεπέσαμεν, καὶ διὰ τῆς φιλανθρωπίας τοῦ Θεοῦ εἰς οὐρανοὺς ἀνυψώθημεν (ὅρα τὴν ὑποσημείωσιν τοῦ αὐτοῦ κ'. τῆς ά.). Ἐπιφέρει δὲ εἰς τὸ ἑξῆς ὁ Ἅγιος, ἀφίνω ὅλα τὰ ἄλλα ἄγραφα μυστήρια τῆς Ἐκκλησίας καὶ ἐρωτῶ· τὴν ὁμολογίαν τῆς πίστεως, ἤτοι τὸ νὰ πιστεύωμεν εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, ἔτσι αὐτολεξεί, ἐκ ποίας Γραφῆς ἔχομεν; εἰ μὲν οἱ Πνευματομάχοι εἰποῦν, ὅτι ἔχομεν αὐτὴν ἀπὸ τὴν περὶ τοῦ βαπτίσματος παράδοσιν τοῦ Κυρίου ὁποῦ εἶπε, Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ἂς συγχωρήσουν καὶ ἡμᾶς, καθὼς ἔχομεν τὴν ὁμολογίαν τῆς πίστεως ὁμοίαν μὲ τὸ βάπτισμα, οὕτω νὰ δίδωμεν καὶ τὴν δοξολογίαν εἰς τὴν Τριάδα, ὁμοίαν μὲ τὴν εἰς αὐτὴν πίστιν, ἤγουν καθὼς λέγομεν ὅτι πιστεύομεν εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, ἔτσι καὶ νὰ λέγωμεν, δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, ἢ σὺν ἁγίῳ Πνεύματι. Ἂν δὲ λέγουσιν, ὅτι ἡ δοξολογία αὕτη ἦναι ἄγραφος εἰς τὴν Γραφὴν, λέγομεν καὶ ἡμεῖς, ὅτι παρομοίως καὶ ἡ ὁμολογία τῆς πίστεως καὶ ὅλα τὰ ἄλλα ὁποῦ προείπομεν, εἶναι ἄγραφα εἰς αὐτήν. Εἰ δὲ τὰ ἄγραφα ταῦτα, τόσον πολλὰ ὄντα εἰς τὸν ἀριθμὸν, καὶ τόσην μεγάλην δύναμιν ἔχοντα εἰς τὴν πίστιν, συγχωροῦσιν οἱ Πνευματομάχοι, διὰ τί νὰ μὴ συγχωρήσουν καὶ εἰς ἡμᾶς τὴν μίαν λέξιν, τὴν ἐν τῇ δοξολογίᾳ ταύτῃ περιεχομένην, τὴν σὺν πρόθεσιν δηλ. ἢ τὸν καὶ σύνδεσμον, τὴν ὁποίαν εὕρομεν παραδεδομένην ἀπὸ τοὺς Πατέρας εἰς τὰς ὀρθοδόξους Ἐκκλησίας τῆς Ἀνατολῆς (καὶ μάλιστα παραδοθεῖσαν ἀπὸ τὸν θαυματουργὸν Γρηγόριον εἰς τὴν ἐν Νεοκαισαρείᾳ Ἐκκλησίαν), ἡ ὁποία μεγάλην δύναμιν ἔχει εἰς τὴν πίστιν τῆς ἁγίας Τριάδος (2);

Τοῦ αὐτοῦ ἐκ τοῦ κθ'. Κεφαλαίου ἐκ τῆς αὐτῆς πραγματείας.

ΚΑΝΩΝ ϟΒ'.

Πρὸς γεμὴν τὸ ἁμάρτυρον καὶ ἄγραφον εἶναι τὴν σὺν τῷ Πνεύματι δοξολογίαν, ἐκεῖνο λέγομεν, ὅτι εἰ μὲν μηδὲν ἕτερον ἄγραφον, μηδὲ τοῦτο παραδεχθήτω· εἰ δὲ τὰ πλεῖστα τῶν μυστικῶν ἀγράφως ἡμῖν

ναστάσεως, καὶ Ἐν Κυριακῇ τὸ Πνεῦμα τὸ ἅγιον μέλλει νὰ τελεσιουργήσῃ τὴν ἀνακαίνισιν ὅλης τῆς κτίσεως, κατὰ τὴν παράδοσιν τῆς Ἐκκλησίας· «Ἐξαποστελεῖς, γὰρ, φησὶ, τὸ Πνεῦμά σου καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς». Πολλοὶ δὲ διδάσκαλοι θέλουσιν ὅτι ἐν Κυριακῇ ἐγένετο ὁ Εὐαγγελισμός. Ἐν Κυριακῇ ἡ Χριστοῦ γέννησις. Ἐν Κυριακῇ τὸ θαῦμα τοῦ πολλαπλασιασμοῦ τῶν πέντε ἄρτων. Ἐν Κυριακῇ διέβησαν τὴν Ἐρυθρὰν οἱ Ἰσραηλῖται, καὶ ἐν Κυριακῇ ἠξιώθη ὁ Ἰωάννης νὰ ἰδῇ τὴν φρικτὴν Ἀποκάλυψιν, ὡς δηλοῦται ἐν Κεφ. ά. τῆς αὐτῆς. Μία δὲ ὠνομάσθη ἡ Κυριακὴ, διατὶ κοντὰ εἰς τοῦτα ὁποῦ λέγει ὁ Θεῖος Βασίλειος, καὶ μέσα εἰς τὴν μίαν ἐκείνην ὅλαι αἱ καθ' ἑξῆς ἓξ ἡμέραι ἐμπεριείχοντο, καθ' ὅτι τὰ ἐν αὐταῖς γεννηθέντα ποιήματα, ἐκ τῆς προϋπαρχούσης ὕλης τῶν στοιχείων, τῆς ἐν τῇ μιᾷ ἐκείνῃ ἡμέρᾳ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραχθείσης ἐγένοντο, καὶ ὄχι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι. Προνόμιον γὰρ καὶ τοῦτο μέγιστον ἐστάθη τῆς Κυριακῆς, τὸ νὰ γεννηθοῦν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ ἐν αὐτῇ γεννηθέντα κτίσματα, καὶ τὸ νὰ δώσουν τὴν ὑλικὴν αἰτίαν εἰς τὰ ὕστερον γεννηθέντα· οἱονεὶ γὰρ ἐγγαστρωμένα τὰ τῆς ά. Κυριακῆς ἡμέρας κτίσματα ἐγεννήθησαν, κατὰ τὸν Θεσσαλονίκης Γρηγόριον, ἀφ' ὧν τὰ ἄλλα ἐγένοντο. Ἐπειδή τινες ἐναντιόνονται, λέγοντες, ὅτι ἡ Κυριακὴ δὲν εἶναι εἰκὼν τοῦ μέλλοντος αἰῶνος κυρίως, διατὶ κεκολασμένως εἰκόνα ταύτην ἐκείνου ὀνομάζει ἐδῶ ὁ Βασίλειος, ἂς μάθουν, ὅτι ὁ ἴδιος οὗτος Βασίλειος (ὁμιλίᾳ β'. εἰς τὴν ἑξαήμ. σελ. 28. τοῦ ά. τόμου) ἀποφαντικῶς, καὶ χωρὶς κἀνένα κολαστικὸν μόριον, εἰκόνα ἐκείνου αὐτὴν ὀνομάζει, οὕτω λέγων· «Διὰ τοῦτο τὴν κεφαλὴν τοῦ χρόνου ὄχι πρώτην ἡμέραν μίαν ὠνόμασεν, ἵνα καὶ ἐκ τῆς προσηγορίας τὸ συγγενὲς ἔχῃ πρὸς τὸν ἕνα. Τοῦ γὰρ μοναχοῦ καὶ ἀκοινωνήτου πρὸς ἕτερον (αἰῶνα) ἡ τὸν χαρακτῆρα δεικνύουσα, οἰκείως καὶ προσφυῶς προσηγορεύθη μία.» Καὶ πάλιν. «Ἵνα οὖν πρὸς τὴν μέλλουσαν ζωὴν τὴν ἔννοιαν ἡμῶν ἀπαγάγῃ, μίαν ὠνόμασε τοῦ αἰῶνος τὴν εἰκόνα, τὴν ἀπαρχὴν τῶν ἡμερῶν, τὴν ὑμῆλικα τοῦ φωτὸς, τὴν ἁγίαν Κυριακὴν, τὴν τῇ Ἀναστάσει τοῦ Κυρίου τετιμημένην». Καὶ διὰ νὰ εἰπῶ συντόμως τὸ πᾶν, ὅλος ἐκεῖνος ὁ αἰὼν μία ἡμέρα Κυριακὴ θέλει εἶναι, ἀδιάδοχος καὶ ἀτελεύτητος.

(1) Καθὼς δὲ ὁ μέγας Βασίλειος ἐδῶ λέγει, ὅτι ἡ μία ἐκείνη καὶ πρώτη, ἤτοι ἡ Κυριακὴ, ἑπτάκις ἑπταπλασιασθεῖσα, συμποσεῖ τὰς ἑπτὰ ἑβδομάδας τῆς Πεντηκοστῆς, ἔτσι καὶ ὁ Θεολόγος λέγει, ὅτι ὁ ἑπτὰ ἀριθμὸς ἑπτάκις ἑπταπλασιασθεὶς, τὴν Πεντηκοστὴν γενᾷ παρὰ μίαν ἡμέραν, τὴν ὁποίαν λαμβάνομεν ἀπὸ τὸν μέλλοντα αἰῶνα, τὴν Κυριακὴν δηλ. «Ὁ γὰρ ἑπτὰ ἐφ' ἑαυτὸν συντιθέμενος, γενᾷ τὸν πεντήκοντα, μιᾶς δεούσης ἡμέρας, ἣν ἐκ τοῦ μέλλοντος αἰῶνος προσειλήφαμεν, ὀγδόην τε οὖσαν τὴν αὐτὴν καὶ πρώτην, μᾶλλον δὲ μίαν καὶ ἀκατάλυτον» (λόγῳ εἰς τὴν Πεντηκοστήν).

(2) Περὶ τῆς δοξολογίας ταύτης, ἤτοι τοῦ, Δόξα Πατρὶ, ὅρα εἰς τὴν ά. ὑποσημ. τοῦ παρόντος Κανόνος.

ἐμπολιτεύεται, μετὰ πολλῶν ἑτέρων καὶ τοῦτο καταδεξόμεθα. Ἀποστολικὸν δὲ, οἶμαι, καὶ τὸ ταῖς ἀγράφοις παραδόσεσι παραμένειν. «Ἐπαινῶ γὰρ, φησὶν, ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις κατέχετε». [ά. Κορ. ιά. 2.] Καὶ τὸ, «Κρατεῖτε τὰς παραδόσεις, ἃς παρελάβετε, εἴτε διὰ λόγου, εἴτε δι' Ἐπιστολῆς», [β'. Θεσσαλ. β'. 15] ὧν μάλιστα μία ἐστὶ καὶ ἡ παροῦσα αὕτη, ἣν οἱ ἐξ ἀρχῆς διαταξάμενοι παραδιδόντες τοῖς ἐφεξῆς, συμπροϊούσης ἀεὶ τῷ χρόνῳ τῆς χρήσεως, διὰ μακρᾶς συνηθείας ταῖς Ἐκκλησίαις ἐγκατερρίζωσαν. Ἆρ' οὖν εἰ ὡς ἐν δικαστηρίῳ τῆς διὰ τῶν ἐγγράφων ἀποδείξεως ἀπορροῦντες, μαρτύρων ἡμῖν πλῆθος παρεστησάμεθα, οὐκ ἂν τῆς ἀφιείσης παρ' ὑμῶν ψήφου ἐτύχομεν; Ἐγὼ μὲν οὕτως οἶμαι, «Ἐπὶ στόματος γὰρ δύω καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα». [Δευτερ. ιζ'. 6.] Εἰ δὲ καὶ τὸν πολὺν χρόνον πρὸ ἡμῶν ὄντα ἐναργῶς, ὑμῖν ἐπεδείκνυμεν, οὐκ ἂν ἐδόξαμεν ὑμῖν εἰκότα λέγειν, μὴ εἶναι καθ' ἡμῶν τὴν δίκην εἰσαγώγιμον ταύτην; Δυσωποιητικὰ γάρ πως τὰ παλαιὰ τῶν δογμάτων, οἱονεὶ πολιᾷ τινι τῇ ἀρχαιότητι τὸ αἰδέσιμον ἔχοντα.

Ἑρμηνεία.

Καὶ οὗτος ὁ Κανὼν παρομοίως περὶ τῶν ἀγράφων τῆς Ἐκκλησίας παραδόσεων διαλαμβάνει, λέγων, ὅτι, ἂν οἱ Πνευματομάχοι δὲν δέχωνται τὴν σὺν τῷ Πνεύματι δοξολογίαν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, διατὶ εἶναι ἄγραφος εἰς τὴν Γραφὴν, εἰ μὲν δὲν δεχόμεθα κἀνένα ἄλλο ἄγραφον ἔθος, ἃς μὴ δεχθῇ μήτε αὐτό· εἰ δὲ πολλότατα ἄγραφα εἰς τὴν Ἐκκλησίαν εὑρίσκονται, ἃς δεχθῇ μαζῆ μὲ τὰ ἄλλα καὶ ἡ σὺν τῷ Πατρὶ καὶ Υἱῷ δοξολογία τοῦ Πνεύματος. Ἐδιδάχθημεν γὰρ ἐκ τοῦ Ἀποστόλου νὰ φυλάττωμεν καὶ τὰς ἀγράφους παραδόσεις, λέγοντος· «Ἐπαινῶ ὑμᾶς, ἀδελφοὶ, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν, τὰς παραδόσεις κατέχετε.» Καὶ πάλιν· «Κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε δι' Ἐπιστολῆς ἡμῶν». Ἀπὸ τὰς ὁποίας παραδόσεις μία εἶναι καὶ ἡ δοξολογία τοῦ ἁγίου Πνεύματος, τὴν ὁποίαν οἱ προγενέστεροι, παραδόντες εἰς τοὺς μεταγενεστέρους, μὲ τὴν πολυκαιρίαν καὶ μεταχείρισιν καὶ συνήθειαν, εἰς τὰς Ἐκκλησίας ἐρρίζωσαν. Ὥστε, ἂν, θετέον, περὶ τῆς συνδοξολογίας τοῦ Πνεύματος κρινώμεθα, καὶ μὴ ἔχοντες ἐγγράφους ἀποδείξεις, ἠθέλαμεν φέρει πολλοὺς μάρτυρας, ἆρά γε δὲν ἠθέλαμεν νικήσει ἡμεῖς; βέβαια ἠθέλαμεν νικήσει, ἐπειδὴ, «ἐπὶ στόματος δύω μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα». [Δευτερ. ιζ'. 6.] Ἂν δὲ καὶ ἠθέλαμεν δείξει, πῶς καὶ ἡ ἀρχαιότης τοῦ χρόνου καὶ πολυκαιρία εἰς τὴν ὑπόθεσιν ταύτην μᾶς βοηθεῖ, δὲν ἠθέλαμεν κάμει, ὥστε ὁποῦ ἡ κρίσις μας μήτε ὅλως νὰ χρειασθῇ νὰ ἔμβῃ εἰς δικαστήριον νὰ κριθῇ, ἀλλὰ νὰ ἀποφασισθῇ παρευθὺς, ὅτι ἡμεῖς ἔχομεν τὰ νικητήρια; Διότι τὰ παλαιόθεν ἐπικρατήσαντα δόγματα δυσωποῦσι τὸν καθ' ἕνα καὶ καταπείθουσιν, αἰδέσιμα ὄντα καὶ εὐλαβείας ἄξια διὰ τὴν ἀρχαιότητα (1). Καθεξῆς δὲ ἐπιφέρει ὁ Ἅγιος ἐν τῷ αὐτῷ

(1) Συμφώνως μὲ τὸν παρόντα Κανόνα καὶ ὁ ζ'. τῆς ζ'. διατάσσεται, ὅτι τὰ ἐν τῇ Ἐκκλησίᾳ ἔθη πρέπει νὰ κρατοῦν κατὰ τὴν ἔγγραφον καὶ ἄγραφον θεσμοθεσίαν. Καὶ ὁ γ'. τῆς ἐν Καρθαγένῃ, καὶ ὁ κα'. τῆς ἐν Γάγγρᾳ, τὰς ἐγγράφους καὶ ἀγράφους παραδόσεις θέλουσι νὰ κρατοῦν. Ὁ δὲ Χρυσόστομος (ἐν τῷ δ'. λόγῳ τῆς β'. πρὸς Θεσσαλ.) τὸ ἀνωτέρω ῥητὸν τοῦ Ἀποστόλου ἑρμηνεύων λέγει· «Ἐνταῦθα δῆλον, ὅτι οὐ πάντα δι' ἐπιστολῆς παρεδίδοσαν (οἱ Ἀπόστολοι δηλαδὴ), ἀλλὰ πολλὰ καὶ ἀγράφως. Ὁμοίως δὲ κἀκεῖνα, καὶ ταῦτά ἐστιν ἀξιόπιστα, ὥστε καὶ τὴν παράδοσιν τῆς Ἐκκλησίας ἀξιόπιστον ἡγούμεθα. Παράδοσίς ἐστι, μηδὲν πλέον ζητεῖν». Ἀλλὰ καὶ ἡ ζ'. Σύνοδος ἐν τῇ η'. πράξει αὐτῆς ἀναθεματίζει τοὺς παραβαίνοντας τὰς παραδόσεις τῆς Ἐκκλησίας, οὕτω λέγουσα· «Εἴτις πᾶσαν παράδοσιν ἐκκλησιαστικὴν, ἔγγραφον ἢ ἄγραφον, ἀθετεῖ, ἀνάθεμα» (σελ. 883. τοῦ β'. τόμου τῶν Συνοδικῶν). Καὶ ἐν τῇ πρὸς τοὺς Ἀλεξανδρεῖς δὲ ἐπιστολῇ αὐτῆς ἡ αὐτὴ Σύνοδος οὕτω γράφει· «Ἅπαντα τὰ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν, καὶ τὴν διδασκαλίαν, καὶ ὑποτύπωσιν τῶν Ἁγίων καὶ ἀοιδίμων Πατέρων καινοτομηθέντα καὶ πραχθέντα, καὶ μετὰ τοῦτο πραχθησόμενα, ἀνάθεμα» (σελ. 606. τοῦ β'. τόμου τῶν Συνοδικῶν). Αὐτὸ τοῦτο μὲ τὰς ἰδίας λέξεις ἐξεβόησε καὶ ἡ μετὰ τὸν Πορφυρογέννητον Κωνσταντῖνον Σύνοδος (σελ. 977. τοῦ 6'. τόμου τῶν Συνοδ.). συμπεραίνεται οὖν ἐκ τῶν εἰρημένων, ὅτι παράδοσις κυρίως μὲν καὶ ἐξαιρέτως ἐστὶ, κατὰ τοὺς θεολογοῦντας, ῥῆμα Θεοῦ ἄγραφον, ὅτι ἐν τῇ θείᾳ Γραφῇ οὐ γέγραπται, καὶ μ' ὅλον ὁποῦ εἶναι γεγραμμένον εἰς τὰς βίβλους τῶν θεοφόρων Πατέρων, καὶ ἐν τοῖς πρακτικοῖς τῶν Συνόδων. Καταχρηστικῶς δὲ καὶ σπανίως παράδοσις ὀνομάζεται καὶ τὸ γεγραμμένον ἐν τῇ θείᾳ Γραφῇ (καὶ μὲ ὅλον ὁποῦ αὕτη κυρίως Γραφὴ ἐστί τε καὶ ὀνομάζεται, καὶ ὅρα τὴν ὑποσημείωσιν τοῦ πε'. Ἀποστολικοῦ), καθὼς τοῦτο συνάγεται ἀπὸ τὸν λόγον τοῦ Παύλου· «Κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν», ὅπου παράδοσιν καλεῖ καὶ τὴν δι' ἐπιστολῆς του, ταὐτὸν εἰπεῖν, τῆς θείας Γραφῆς, γεγραμμένην καὶ διδαγμένην. Εἰς ἔγγραφον δὲ καὶ ἄγραφον ταύτην ἐδιαίρεσε καὶ ἡ ζ'. Σύνοδος ἀνωτέρω. Τριττὴ δὲ ἔστιν ἡ παράδοσις, Θεία, Ἀποστολικὴ καὶ Ἐκκλησιαστική. Καὶ Θεία μὲν ἔστιν ἐκείνη, ἧς ἀρχηγὸς ὁ Θεὸς, Ἀποστολικὴ δὲ ἡ παρὰ τῶν Ἀποστόλων παραδοθεῖσα, θεωρουμένων καθ' ὃ Οἰκονόμων καὶ Ποιμένων τῶν πιστῶν, οὐ καθ' ὃ κηρύκων, ὧν ἀπὸ τοῦ Χριστοῦ ἤκουσαν, οἷον ἐπὶ παραδείγματος, λέγει ὁ Παῦλος· «Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγὼ, ἀλλ' ὁ Κύριος» (ά. Κορινθ. ζ'.). Ἡ παράδοσις αὕτη δὲν εἶναι Ἀποστολικὴ, καὶ μ' ὅλον ὁποῦ ὑπὸ τοῦ Ἀποστόλου λέγεται, ἀλλὰ Θεία, ὡς ὑπὸ τοῦ Θεοῦ μὲν τοῦ Νομοθέτου διορισθεῖσα, διὰ δὲ τοῦ Ἀποστόλου κηρυχθεῖσα. Ἔπειτα λέγει ὁ ἴδιος Παῦλος· «Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω, οὐχὶ ὁ Κύριος.» Ἡ παράδοσις αὕτη ἐστὶν ἀληθῶς ἰδία Ἀποστολικὴ, τὴν ὁποίαν ἀφ' ἑαυτοῦ ὁ Ἀπόστολος, καθ' ὃ Οἰκονόμος καὶ Ποιμὴν τοῦ λαοῦ ἐδιώρισεν. Ἐκκλησιαστικὴ δὲ παράδοσίς ἐστιν ἡ παρὰ τῶν διαδόχων τῶν Ἀποστόλων διορισθεῖσα. Χαρακτὴρ δὲ καὶ συστατικὸν ἰδίωμα εἶναι τῆς μὲν Θείας καὶ τῆς Ἀποστολικῆς, τὸ νὰ δέχωνται παρὰ τῶν Πατέρων ὡς ἓν καὶ αἱ δύω, καὶ τὸ νὰ φυ-

Κεφαλαίῳ πολλοὺς παλαιοὺς μάρτυρας, καὶ μάλιστα καὶ Ἁγίους, ἐγγράφως τοῦτο δηλοῦντας, οἵτινες ποτὲ μὲν ἐδοξολόγουν οὕτω· Δόξα Πατρὶ καὶ Υἱῷ σὺν ἁγίῳ Πνεύματι, ποτὲ δὲ οὕτω· Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

ΠΕΡΙ ΤΟΥ ΝΥΣΣΗΣ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ

ΠΡΟΛΕΓΟΜΕΝΑ

Ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Γρηγόριος, ὁ τῆς ἐν τῇ Καππαδοκίᾳ Νύσσης Ἐπίσκοπος, καὶ τοῦ μεγάλου Βασιλείου αὐτάδελφος, Ἀναγνώστης ὢν πρότερον, ὕστερον ἀφήσας τὴν ἰδίαν του τάξιν, ἔδωκεν ὅλον τὸν ἑαυτόν του εἰς τὴν σπουδὴν τῆς ρητορικῆς τέχνης, ἀλλ' ἀνεκαλέσθη πάλιν εἰς τὴν τάξιν του διὰ τῶν ἐπιπληκτικῶν παρακινήσεων Γρηγορίου τοῦ Θεολόγου (1)· πρὸ τοῦ δὲ νὰ γένῃ Ἐπίσκοπος, ἔλαβεν εἰς γυναῖκα τὴν Θεοσεβίαν, τῆς ὁποίας τὸν θάνατον ἀνδρείως ὑπέμεινε (2), καὶ κατὰ τὸ 372 ἔτος Ἐπίσκοπος τῆς Νύσσης κατέστη (3)· ὀλίγον δὲ ὕστερον ἀπὸ τὴν Ἐπισκοπικὴν ἀξίαν, διὰ τὸν ζῆλον τῆς πίστεως, ἐξορισθεὶς διὰ προσταγῆς τοῦ Οὐάλεντος, εἰς διαφόρους τόπους ἐπεριπάτει, ταλαιπωρούμενος ἀπὸ τὰς ἐπιβουλὰς τῶν Ἀρειανῶν (4)· ἐν ἔτει δὲ 378, τελευτήσαντος τοῦ Οὐάλεντος, ἀνεκαλέσθη εἰς τὸν θρόνον του ὑπὸ τοῦ Γρατιανοῦ (5). Παραστὰς δὲ ἐν τῇ κατὰ Ἀντιόχειαν Συνόδῳ πέμπεται παρ' αὐτῆς εἰς τὴν Ἀραβίαν ὁμοῦ μὲ ἄλλους Ἐπισκόπους, διὰ νὰ ἐπισκεφθῇ τὰς ἐκεῖσε Ἐκκλησίας (6)· ἐλθὼν δὲ εἰς Ἱεροσόλυμα καὶ προσκυνήσας τοὺς ἁγίους τόπους, ἀηδίασε διὰ τὰς ἐκεῖ γενομένας κακίας ὁποῦ εἶδε· δι' ὃ καὶ ἔγραψε πρὸς τὸν φίλον του τὴν Ἐπιστολὴν, ὁποῦ διαλαμβάνει διὰ τοὺς πηγαίνοντας εἰς Ἱεροσόλυμα. Παρὼν δὲ εὑρεθεὶς εἰς τὴν ἁγίαν καὶ Οἰκουμενικὴν β'. Σύνοδον ἐν ἔτει 381, τὸ Σύμβολον ἀνεπλήρωσε τῆς ἐν Νικαίᾳ, προσθεὶς τὴν θεολογίαν τοῦ ἁγίου Πνεύματος, καὶ τὰ τέσσαρα ἄλλα ἄρθρα μεχρι τέλους (7)· εὑρέθη δὲ παρὼν καὶ εἰς τὴν ἐν Κωνσταντινουπόλει γενομένην τοπικὴν Σύνοδον, περὶ Ἀγαπίου καὶ Βαγαδίου, ἐν ἔτει 394 (8). Κοντὰ δὲ εἰς τὰ ἄλλα αὐτοῦ πάνσοφα συγγράμματα, καὶ τούτους τοὺς Κανόνας συνέγραψεν, ἀναγκαίους ὄντας εἰς τὴν τῆς Ἐκκλησίας εὐταξίαν καὶ κατάστασιν, οἵτινες ἐπικυροῦνται, ἀορίστως μὲν ἀπὸ τὸν ά. τῆς δ'. καὶ τὸν ά τῆς ζ', ὡρισμένως δὲ ἀπὸ τὸν β'. τῆς ς'. Οἰκουμενικῆς, καὶ διὰ τῆς ἐπικυρώσεως ταύτης, Οἰκουμενικὴν τρόπον τινὰ ἀναλαμβάνουσι δύναμιν. Εὑρίσκονται δὲ ἐν τῷ β'. τόμῳ τῶν Πανδεκτων, καὶ ἐν σελ. 349 τοῦ ά. τόμου τῶν Συνοδικῶν (9).

λάττωνται ἄνωθεν καὶ ἐξ ἀρχῆς κοινῶς εἰς ὅλας τὰς Ἐκκλησίας· τῆς δὲ Ἐκκλησιαστικῆς χαρακτὴρ ἐστι τὸ νὰ φυλάττεται καὶ αὐτὴ παρομοίως μὲ τὴν Ἀποστολικὴν εἰς ὅλας τὰς Ἐκκλησίας, ἂν ἦναι δυνατὸν, διὰ τὸ τῆς κοινῆ συμφωνίας καλόν. Ἐπειδὴ δὲ οἱ Λουθηροκαλβῖνοι, ἀκολουθοῦντες Μοντανῷ, τῷ κατὰ τὸν β'. αἰῶνα, ἀθετοῦντι τὰ Ἐκκλησιαστικὰ ἔθη καὶ τὰς ἐκ τῶν Ἀποστόλων διαδοθείσας παραδόσεις, (καὶ ὄρα τὴν ε'. ὑποσημείωσιν τοῦ ζ'. τῆς β'.) ἀναιροῦσι τὰς παραδόσεις, καὶ ἐνίστανται λέγοντες, ὅτι ὁ Θεὸς ἐν τῷ Δευτερονομίῳ (Κεφ. δ'.) καὶ ἐν τῇ Ἀποκαλύψει (Κεφ. κβ'.) προστάζει νὰ μὴ προσθέσῃ τινὰς τίποτε εἰς τὰ ἐν αὐτοῖς γεγραμμένα, ἀποκρινόμεθα, ὅτι, κατὰ τὸν Αὐγουστῖνον (Κεφ. οθ'. εἰς τὸν Ἰωάνν.), ἐμπόδισεν ὁ Θεὸς νὰ μὴ προστεθοῦν τὰ βλαβερὰ καὶ ἀσύμφωνα, ἀλλ' ὄχι καὶ τὰ ἐπωφελῆ καὶ σύμφωνα. Εἰ δὲ καὶ ὁ Θεοφύλακτος, ἑρμηνεύων τὸ, εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω, λέγει ὅτι δὲν εἶπεν, ἐὰν τὰ ἐναντία καταγγέλλωσιν, ἀλλὰ κἂν μικρόν τι εὐαγγελίζωνται παρ' ὃ εὐηγγελισάμεθα, λέγομεν, ὅτι, ὁ μὲν Ἀπόστολος μὲ τὸν λόγον ὁποῦ λέγει εὐηγγελισάμεθα καὶ παρελάβετε, τὰς παραδόσεις μᾶλλον βεβαιοῖ, καθ' ὅτι διὰ λόγου καὶ αὐτὸς εὐηγγελίσατο, καὶ οἱ Γαλάται παρέλαβον, καὶ ταῦτα εἶναι αἱ παραδόσεις ὁποῦ πρεσβεύομεν ἡμεῖς (οὐ γὰρ εἶπε παρ' ὃ ἐγράψαμεν, ἀλλὰ παρ' ὃ εὐηγγελισάμεθα)· ὁ δὲ Θεοφύλακτος εἶπε τοῦτα διὰ νὰ μᾶς ἐμποδίσῃ ἀπὸ τὸ νὰ παρεγγράφωμεν μέσα εἰς τὰς θείας Γραφὰς τὰ ἰδικά μας λόγια, ὡσὰν Θεοῦ λόγια, κατὰ τοὺς ψευδοπροφήτας ἐκείνους ὁποῦ ἔλεγον· Τάδε λέγει Κύριος, χωρὶς νὰ τὰ λέγῃ εἰς αὐτοὺς ὁ Κύριος, καὶ ὄχι διὰ νὰ μᾶς ἐμποδίσῃ νὰ μὴ δεχώμεθα τὰς ἐκ τῶν Ἀποστόλων καὶ τῶν διαδόχων αὐτῶν παραδόσεις. Ἐκεῖνο δὲ ὁποῦ λέγει ὁ θεῖος Ἱερώνυμος (Κεφ. κγ'. Ματθ.) ἐν τῷ κατὰ Ἑλβιδίου, «ὥσπερ τὰ γεγραμμένα οὐκ ἀπανωνόμεθα, οὕτω τὰ μὴ γεγραμμένα οὐκ ἀποδεχόμεθα, καὶ τὸ ἐκ τῶν Γραφῶν μὴ μαρτυρούμενον, ῥαδίως ὀλιγωρεῖται, οἷα δὴ καὶ κατασκευάζεται·» τὸ ρητὸν, λέγω, τοῦτο εἶπεν, ὄχι διὰ τὰς τῆς Ἐκκλησίας παραδόσεις, ἀλλὰ διά τινας ἀβεβαίους καὶ μυθολογουμένας ἱστορίας, ὁποῦ ἐφλυάρει ὁ Ἑλβίδιος· οἷον, ὅτι ὁ Χριστὸς ἐγεννήθη ὡσὰν τὰ ἄλλα βρέφη ρυπώδης, καὶ ἄλλα τοιαῦτα αἱρετικὰ φληναφήματα. Αἱ παραδόσεις τῆς Ἐκκλησίας συνιστῶνται καὶ ἀπὸ ἐκεῖνο ὁποῦ λέγει ὁ Παῦλος πρὸς τὸν Τιμόθεον· «Ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι». Ὅρα καὶ τὴν ὑποσημείωσιν τοῦ ά. τῆς ἐν Σαρδικῇ.

(1) Ὅρα τὴν 43. Ἐπιστολὴν τοῦ Θεολόγου.

(2) Ὅρα τὴν 95. Ἐπιστολὴν τοῦ αὐτοῦ.

(3) Ὁ Φαβρίκιος 8. σελ. 141. Ὅρα καὶ τὴν 225 καὶ τὴν 385. Ἐπιστολὴν τοῦ μεγάλου Βασιλείου.

(4) Ὁ Κάβε ἐν τόμ. ι'. σελ. 244. Ὅρα καὶ τὴν Ἐπιστολ. τὴν 237. καὶ τὴν 264. τοῦ μεγάλου Βασιλείου.

(5) Ὁ Φαβρίκιος αὐτόθι.

(6) Ἡ Σύνοδος αὕτη φαίνεται νὰ ἦτον ἡ ἐπὶ Μελετίου γενομένη ἐν Ἀντιοχείᾳ ἐν ἔτει 379. ἢ 380, ἥτις τὸ μὲν θεοποιὸν Σύμβολον ἐκύρωσε τῆς ἐν Νικαίᾳ, Μάρκελλον δὲ καὶ Φωτεινὸν καὶ Ἀπολινάριον ἀνεθεμάτισε, καὶ ὅρα τὸν β'. τόμ. τῶν Συνοδικῶν ἐν τῷ πίνακι.

(7) Νικηφόρος ὁ Κάλλιστος βιβλ. 12. Κεφ. 13.

(8) Ὁ Φαβρίκιος καὶ ὁ Κάβε, αὐτόθι. Περὶ τῆς Συνόδου ταύτης ὅρα μετὰ τὴν ἐν Σαρδικῇ.

(9) Τὰ δὲ περὶ ἀποκαταστάσεως διαλαμβάνοντα ἴχνη, τὰ ἐν τοῖς συγγράμμασιν αὐτοῦ ἐνεσπαρμένα, ὁ μὲν ἀνόθευτος τοῦ

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου Ἐπισκόπου Νύσσης, Ἐπιστολὴ κανονικὴ πρὸς Λητόϊον Ἐπίσκοπον Μελιτίνης.

ΚΑΝΩΝ Α'.

Ἓν καὶ τοῦτο τῶν εἰς τὴν ἁγίαν ἑορτὴν συντελούντων ἐστὶ, τὸ κατανοῆσαι ἡμᾶς τὴν ἔννομόν τε καὶ κανονικὴν ἐπὶ τῶν πεπλημμεληκότων οἰκονομίαν, ὅπως ἂν θεραπευθείη πᾶν ἀρρώστημα ψυχικὸν, τὸ διά τινος ἁμαρτίας ἐπιγινόμενον. Ἐπειδὴ γὰρ ἡ καθολικὴ αὕτη τῆς κτίσεως ἑορτὴ, κατὰ τὴν τεταγμένην περίοδον τοῦ ἐνιαυσίου κύκλου, καθ' ἕκαστον ἔτος ἐν παντὶ πληρουμένη τῷ κόσμῳ ἐπὶ τῇ ἀναστάσει τοῦ πεπτωκότος ἐπιτελεῖται (πτῶσις δέ ἐστιν ἡ ἁμαρτία, ἀνάστασις δὲ ἡ ἐκ τοῦ πτώματος (1) ἀνόρθωσις), καλῶς ἂν ἔχοι κατὰ τὴν ἡμέραν ταύτην, οὐ μόνον τοὺς ἐκ τῆς παλιγγενεσίας μεταστοιχειουμένους διὰ τῆς τοῦ λουτροῦ χάριτος τῷ Θεῷ προσάγειν, ἀλλὰ καὶ τοὺς διὰ τῆς μετανοίας τε καὶ ἐπιστροφῆς ἀπὸ τῶν νεκρῶν ἔργων [Ἑβρ. θ'. 14] εἰς τὴν ζῶσαν ὁδὸν πάλιν ἐπανιόντας, καὶ τούτους χειραγωγεῖν εἰς τὴν σώζουσαν ἐλπίδα, ἧς διὰ τῆς ἁμαρτίας ἀπεξενώθησαν. Ἔστι δὲ οὐ μικρὸν ἔργον τοὺς περὶ τούτων λόγους οἰκονομῆσαι ἐν τῇ ὀρθῇ τε καὶ δεδοκιμασμένῃ κρίσει, κατὰ τὸ παράγγελμα τοῦ Προφήτου τὸ κελεῦον, «δεῖν οἰκονομεῖν τοὺς λόγους ἐν κρίσει»· ἵνα καθὼς ἔχει τὸ λόγιον, μὴ σαλευθῇ εἰς τὸν αἰῶνα, καὶ «εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος». [Ψαλ. ριά. 6.] Ὥσπερ γὰρ ἐπὶ τῆς σωματικῆς θεραπείας, ὁ μὲν σκοπὸς τῆς ἰατρικῆς ἐστι, τὸ ὑγιᾶναι τὸν κάμνοντα, τὸ δὲ εἶδος τῆς ἐπιμελείας διάφορον (κατὰ γὰρ τὴν ποικιλίαν τῶν ἀρρωστημάτων καταλλήλως καὶ ἡ θεραπευτικὴ μέθοδος ἑκάστῳ τῶν νοσημάτων προσάγεται)· οὕτω, πολλῆς οὔσης καὶ ἐν τῇ ψυχικῇ νόσῳ τῆς τῶν παθῶν ποικιλίας, ἀναγκαίως πολυειδὴς γενήσεται ἡ θεραπευτικὴ ἐπιμέλεια, πρὸς λόγον τοῦ πάθους ἐνεργοῦσα τὴν ἴασιν. Ὡς δ' ἂν γένοιτό τις τεχνικὴ μέθοδος περὶ τοῦ προκειμένου προβλήματος, οὕτω τὸν λόγον διαληψόμεθα. Τρία ἐστὶ τὰ περὶ τὴν ψυχὴν ἡμῶν θεωρούμενα κατὰ πρώτην διαίρεσιν, τό τε λογικὸν, καὶ τὸ ἐπιθυμητικὸν καὶ τὸ θυμοειδές. Ἐν τούτοις εἰσὶ καὶ τὰ κατορθώματα τῶν κατ' ἀρετὴν βιούντων καὶ τὰ πτώματα τῶν εἰς κακίαν ἀπορρεόντων· δι' ὃ προσήκει τὸν μέλλοντα τὴν κατάλληλον θεραπείαν προσάγειν τῷ νενοσηκότι τῆς ψυχῆς μέρει. Πρῶτον μὲν ἐπισκέπτεσθαι ἐν τίνι συνέστη τὸ πάθος, εἶθ' οὕτω τῷ πεπονθότι προσάγειν ἁρμοδίως τὴν θεραπείαν, ὡς ἂν μὴ δι' ἀπειρίαν τῆς θεραπευτικῆς μεθόδου, ἄλλο μὲν ᾖ τὸ νοσῆσαν μέρος, ἕτερον δὲ τὸ τὴν θεραπείαν δεχόμενον, ὥσπερ ἀμέλει βλέπομεν πολλοὺς τῶν ἰατρῶν, ἐν ἀπειρίᾳ τοῦ πρωτοπαθόντος μέρους, προσεπιτρίβοντας τὴν νόσον δι' ὧν θεραπεύουσι. Τῆς γὰρ ἀρρωστίας πολλάκις οὔσης κατὰ θερμοῦ ἐπικράτησιν, ἐπειδὴ τοῖς κατὰ πλεονασμὸν τοῦ ψυχροῦ κεκακωμένοις χρήσιμον τὸ θερμαῖνόν τε καὶ ἀναθάλπον ἐστὶ, τὸ τούτοις κατὰ λόγον συνενεγκὸν, ἀπερισκέπτως τὸ αὐτὸ τοῖς ἐν ἀμετρίᾳ θερμότητος ἐκκαιομένοις ἐπαγαγόντες, δυσίατον τὸ πάθος ἐποίησαν. Ὥσπερ τοίνυν ἀναγκαιοτάτη τοῖς ἰατροῖς ἐνομίσθη ἡ κατανόησις τῆς τῶν στοιχείων ἰδιότητος, ὅπως ἂν ἑκάστου τῶν εὖ ἢ κακῶς διακειμένων γένοιτο τοῦ παρὰ φύσιν διατεθέντος ἡ ἐπανόρθωσις, οὕτω καὶ ἡμεῖς ἐπὶ ταύτην ἀναδραμόντες τὴν διαίρεσιν τῶν ἐν τῇ ψυχῇ θεωρουμένων, ἀρχὴν καὶ ὑπόθεσιν τῆς καταλλήλου τῶν παθῶν θεραπείας ποιησόμεθα τὴν γενικὴν θεωρίαν. Οὐκοῦν τριχῇ, καθὼς ἔφημεν, διῃρημένης τῆς ἰδιότητος τῶν τῆς ψυχῆς κινημάτων, εἰς τὸ λογικόν τε καὶ ἐπιθυμητικὸν καὶ θυμοειδὲς, κατορθώματα μὲν τοῦ λογιστικοῦ (2) μέρους τῆς ψυχῆς ἐστιν, ἡ εὐσεβὴς περὶ τὸ θεῖον ὑπόληψις, καὶ ἡ τοῦ καλοῦ τε καὶ κακοῦ διακριτικὴ ἐπιστήμη, καὶ ἡ τρανήν γε καὶ ἀσύγχυτον ἔχουσα περὶ τῆς φύσεως (3) τῶν ὑποκειμένων δόξαν, τί μέν ἐστιν αἱρετὸν ἐν τοῖς οὖσι, τί δὲ βδελυκτὸν καὶ ἀποτρόπαιον. Καὶ πάλιν ἐκ τοῦ ἐναντίου πάντως ἡ ἐν τῷ μέρει τούτῳ κακία θεωρηθήσεται, ὅταν ἀσέβεια μὲν ᾖ περὶ τὸ θεῖον, ἀκρισία δὲ περὶ τὸ ὄντως καλόν. Ἐνηλλαγμένη δὲ καὶ ἐσφαλμένη ἡ περὶ τὴν τῶν πραγμάτων φύσιν ὑπόληψις

Κωνσταντινουπόλεως Γερμανοῦ λόγος λέγει, ὅτι εἶναι ἐπισπορὰ τῶν αἱρετικῶν, ὁ δὲ ἐν Πατράσι μέγας Βαρσανούφιος δι' ἀποκαλύψεως ἐμυήθη, ὅτι εἰσὶν οἰκεῖα αὐτοῦ, ὄχι ὅμως μετὰ πεισμονῆς ὑπερασπιζόμενα, τὸ ὁποῖον εἶναι οὐσιῶδες ἰδίωμα τῶν αἱρετικῶν, ἄπαγε! ἀλλὰ ἀπεριέργως εἰλημμένα, καθὼς παρεδόθησαν εἰς αὐτὸν ἀπὸ τοὺς διδασκάλους του, καὶ μάλιστα διατὶ περὶ αὐτῶν Συνοδικὴ διάγνωσις δὲν εἶχε γένει ἀκόμη. Συμφωνεῖ δὲ εἰς τὴν γνώμην τοῦ Βαρσανουφίου καὶ ὁ Ἅγιος Μάξιμος, ἑρμηνεύων πρὸς τὸν ὀρθὸν σκοπὸν τὰ περὶ τῆς ἀποκαταστάσεως ταύτης. Σύμφωνος τούτοις φαίνεται νὰ ᾖναι καὶ Γεννάδιος ὁ Σχολάριος ἐν τοῖς περὶ τῆς τοῦ Ἁγίου Πνεύματος ἐκπορεύσεως κατὰ Λατίνων λόγοις (τμῆμ. γ'. Κεφ. ιή). Περὶ δὲ τῆς φράσεως τοῦ Ἁγίου τούτου λέγει ὁ Φώτιος (Κώδηκ. 6.)· «ἣν δὲ τὴν μὲν φράσιν, εἴ τις ἄλλος ῥητόρων λαμπρὸς, καὶ ἡδονῆς ὠσὶν ἀποστάζων . . . πλεονάζει δὲ τοῖς ἐνθυμήμασι καὶ τοῖς παραδείγμασι . . . » τοῦτον ἡ ζ'. Σύνοδος (πράξ. ς'.) Πατέρα Πατέρων ὀνομάζει. Ὁ δὲ Ἀγάθων ἐν τῇ ἀναφορᾷ, Μέγαν καλεῖ τῆς Νύσσης Ἐπίσκοπον.

(1) Ἐν ἄλλοις, ἡ ἐκ τοῦ πτώματος τῆς ἁμαρτίας.

(2) Ἐν ἄλλοις, τοῦ λογικοῦ.

(3) Ἐν ἄλλοις, περὶ τῆς φύσεως τὴν ὑπόληψιν, καὶ τῶν ὑποκειμένων τὴν δόξαν.

ψις, ὥστε τιθέναι τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς, [Ἡσ. ε. 20.] καθώς φησιν ἡ Γραφή. Τοῦ δὲ ἐπιθυμητικοῦ μέρους, ἡ μὲν ἐνάρετος κίνησίς ἐστι, τὸ πρὸς τὸ ὄντως ἐπιθυμητὸν καὶ ἀληθῶς καλὸν ἐνάγεσθαι (1) τὸν πόθον, καὶ εἴ τις ἐν ἡμῖν ἐρωτικὴ δύναμίς τε καὶ διάθεσις, ἐκεῖ κατασχολεῖσθαι πᾶσαν, ἐν τῷ πεπεῖσθαι μηδὲν ὀρεκτὸν εἶναι τῇ ἑαυτοῦ φύσει ἄλλο, πλὴν τῆς ἀρετῆς καὶ τῆς τὴν ἀρετὴν πηγαζούσης φύσεως. Παρατροπὴ δὲ καὶ ἁμαρτία τοῦ τοιούτου μέρους ἐστίν, ὅταν τις μεταγάγῃ τὴν ἐπιθυμίαν πρὸς τὴν ἀνυπόστατον κενοδοξίαν, ἢ πρὸς τὸ ἐπικεχρωσμένον τοῖς σώμασιν ἄνθος, ὅθεν γίνεται ἡ φιλοχρηματία καὶ ἡ φιλοδοξία καὶ ἡ φιληδονία, καὶ πάντα τὰ τοιαῦτα, ὅσα ἤρτηται τοῦ τοιούτου γένους τῆς κακίας. Πάλιν δὲ τῆς θυμώδους διαθέσεως κατόρθωμα μέν ἐστιν ἡ πρὸς τὸ κακὸν ἀπέχθεια, καὶ ὁ πρὸς τὰ πάθη πόλεμος, καὶ τὸ πρὸς ἀνδρείαν ἑστομῶσθαι τὴν ψυχὴν, ἐν τῷ μὴ καταπτήσειν τὰ τοῖς πολλοῖς φοβερὰ νομιζόμενα, ἀλλὰ μέχρις αἵματος πρὸς τὴν ἁμαρτίαν ἀντικαθίστασθαι, καταφρονεῖν δὲ θανατικῆς ἀπειλῆς, καὶ ἀλγεινῶν κολαστηρίων, καὶ τῆς τῶν ἡδίστων διαζεύξεως, καὶ πάντων ἅπαξ τῶν διά τινος συνηθείας καὶ προλήψεως ἐν ἡδονῇ τοὺς πολλοὺς κατεχόντων, κρείττονα γενέσθαι, τῆς πίστεως καὶ τῆς ἀρετῆς προμαχόμενον. Τὰ δὲ ἀποπτώματα τοῦ τοιούτου μέρους ἔστιν ἅπασι πρόδηλα· ὁ φθόνος, τὸ μῖσος, ἡ μῆνις, ἡ λοιδορία, αἱ συμπλοκαὶ αἱ φιλόνεικοί τε καὶ ἀμυντικαὶ διαθέσεις, αἱ μέχρι πολλοῦ παρατείνουσαι τὴν μνησικακίαν, καὶ πολλοῖς εἰς φόνους καὶ αἵματα καταλήγουσαι. Μὴ γὰρ εὑρὼν ὁ ἀπαίδευτος λογισμὸς, ὅπου χρήσεται τῷ ὅπλῳ λυσιτελῶς ἐφ' ἑαυτὸν, τρέπει τὴν τοῦ σιδήρου ἀκμήν. Καὶ γίνεται τὸ ἐκ Θεοῦ δοθὲν ἡμῖν ἀμυντήριον ὅπλον, τῷ κακῶς κεχρημένῳ ὀλέθριον.

Ἑρμηνεία. (2)

Κατὰ τὸν καιρὸν τῆς ἑορτῆς τοῦ Πάσχα φαίνεται νὰ ἔστειλε τὴν ἐπιστολὴν ταύτην ὁ Ἅγιος, δι' ὃ καὶ ἐκ περιστάσεως τοῦ καιροῦ ἀρχινᾷ τὸ προοίμιον, λέγων: ἕνα ἀπὸ ἐκεῖνα ὁποῦ συντείνουν εἰς τὴν ἑορτὴν ταύτην εἶναι καὶ τὸ νὰ στοχασθῶμεν νὰ ἰατρεύσωμεν κάθε ψυχικὴν ἀσθένειαν τῶν ἁμαρτωλῶν, μὲ τρόπον νόμιμον καὶ κανονικόν· διότι, ἐπειδὴ ἡ παγκόσμιος αὕτη τῆς Λαμπρᾶς ἑορτὴ ἐπιτελεῖται διὰ τὴν αἰτίαν τῆς σωματικῆς ἀναστάσεως τοῦ πεπτωκότος καὶ φθαρέντος Ἀδάμ· πτῶσις δὲ ψυχικὴ εἶναι καὶ ἡ ἁμαρτία, καθὼς καὶ ἀνάστασις ψυχικὴ εἶναι ἡ ἐκ τῆς ἁμαρτίας ἀνόρθωσις· διὰ ταύτην τὴν ὁμοιότητα ἁρμόδιον εἶναι κατὰ τὴν ἑορτὴν ταύτην, ὄχι μόνον νὰ προσφέρωμεν εἰς τὸν Θεὸν πνευματικῶς ἀφθαρτισμένους τοὺς διὰ τοῦ ἁγίου βαπτίσματος ἀναγεννηθέντας (κατὰ τὸ Πάσχα γὰρ ἐβαπτίζοντο τότε οἱ κατηχούμενοι, καὶ ὅρα τὸν με΄. τῆς ἐν Λαοδικείᾳ) ἀλλὰ καὶ νὰ ὁδηγήσωμεν πρὸς σωτηρίαν ἐκείνους, ὁποῦ διὰ μετανοίας καὶ ἀποχῆς τῶν νεκρῶν ἔργων τῆς ἁμαρτίας ἐπιστρέφουσι πρὸς τὴν ζῶσαν ὁδὸν τῆς ἀρετῆς, ὡς λέγει ὁ Ἀπόστολος. Πλὴν δὲν εἶναι ὀλίγη δυσκολία τὸ νὰ κυβερνήσῃ τινὰς μὲ ὀρθὴν καὶ ἀλάνθαστον κρίσιν τοὺς λόγους καὶ τὰς αἰτίας τῆς τῶν τοιούτων ἁμαρτωλῶν διορθώσεως. Λέγει γὰρ ὁ Δαβὶδ, ὅτι ὁ δίκαιος πρέπει νὰ οἰκονομῇ τοὺς λογαριασμούς του μὲ διάκρισιν μεγάλην, ἵνα μὴ σαλευθῇ εἰς τὸν αἰῶνα, ἀλλ' ἵνα μένῃ τὸ μνημόσυνόν του αἰώνιον. Διότι, καθὼς ἡ ἰατρικὴ τέχνη τῶν σωμάτων, ἕνα μὲν σκοπὸν ἔχει νὰ ἰατρεύσῃ τὸν ἀσθενῆ, ἡ δὲ μεταχείρισις καὶ ἐπιμέλεια ὁποῦ εἰς αὐτὸν κάμνει δὲν εἶναι μία καὶ ἡ αὐτὴ, ἀλλὰ πολυποίκιλος καὶ διαφορετικὴ, παρομοίᾳ δηλ. μὲ τὰ διαφορετικὰ καὶ πολυποίκιλα εἴδη τῶν ἀσθενειῶν, τοιουτοτρόπως καὶ ἡ ἰατρικὴ τέχνη τῶν ψυχῶν, κατὰ τὰς διαφόρους καὶ πολυτρόπους ἀσθενείας τῆς ψυχῆς, διαφόρους καὶ πολυτρόπους μεταχειρίζεται καὶ τὰς ἰατρείας. Καὶ διὰ νὰ γένῃ μὲ μέθοδον καὶ τάξιν ἡ περὶ τούτου διδασκαλία μας, μὲ τοιοῦτον τρόπον ἂς ἀρχίσωμεν. Τρία εἶναι τὰ μέρη τῆς ψυχῆς, λογιστικὸν, (ἤ λογικὸν), ἐπιθυμητικὸν καὶ θυμικόν (3). Μὲ ταῦτα τὰ τρία καὶ ἡ ἀρεταῖς ἐνεργοῦνται καὶ ἡ κακίαις. Διὰ τοῦτο ὅποιος Πνευματικὸς ἰατρὸς θέλει νὰ ἰατρεύῃ ἐμπείρως καὶ τεχνικῶς, πρέπει πρῶτον νὰ ἐξετάζῃ εἰς ποῖον μέρος ἀπὸ τὰ τρία ταῦτα ἐνεργεῖται ἡ κάθε ἁμαρτία, καὶ ἔτσι ἀκολούθως νὰ ἰατρεύῃ τὸ πονεμένον μέρος καὶ ἀσθενὲς, καὶ ὄχι ἄλλο μὲν νὰ ἦναι τὸ ἀσθενὲς, ἄλλο δὲ μέρος νὰ ἰατρεύῃ αὐτὸς, καθὼς βλέπομεν καὶ πολλοὺς ἀπείρους ἰατροὺς νὰ αὐξάνουσι περισσότερον τὴν ἀσθένειαν, παρὰ νὰ ἰατρεύουσι, μὲ τὸ νὰ μὴ ἠξεύρουν τὸ μέρος ὁποῦ πάσχει. Παραδείγματος χάριν, πολλαῖς φοραῖς γεννᾶται ἡ ἀσθένεια ἀπὸ ὑπερβολὴν τῆς θερμότητος, αὐτοὶ δὲ, μὲ τὸ νὰ δώσουν εἰς φλογιζόμενον ἀσθενὲς, ὄχι ψυχρὰ καὶ δροσιστικὰ ἰατρικὰ (καθὼς ἀπαιτεῖ ὁ λογαριασμὸς τῆς ἰατρικῆς), ἀλλὰ θερμὰ καὶ πυρὰ, τὰ εἰς τοὺς ὑπὸ ψυχρότητος πάσχοντας ὠφέλιμα (4), δυσκολοϊάτρευτον κατασκευάζουσι τὴν ἀσθένειαν. Λοι-

(1) Ἴσον ἀνάγεσθαι.

(2) Σημείωσαι ὅτι εἰς τοὺς Κανόνας τούτους, οὔτε ὁ Ζωναρᾶς, οὔτε ὁ Ἀριστηνὸς, οὔτε ὁ Ἀνώνυμος ἑρμηνείαν ἔχουσιν, ἀλλὰ μόνος ὁ Βαλσαμών.

(3) Τὴν διαίρεσιν ταύτην φαίνεται νὰ ἐδανείσθη ὁ Ἅγιος ἀπὸ τὸν Πλάτωνα. Ἐκεῖνος γὰρ ἐν τῷ περὶ Πολιτείας οὕτω λέγει· «Ὥσπερ πόλις διῄρηται κατὰ τρία εἴδη, οὕτω καὶ ψυχὴ ἑνὸς ἑκάστου τριχῇ διείρεται, ὡς ἐμοὶ δοκεῖ. Τριῶν δὲ ὄντων, τριτταὶ καὶ ἡδοναί μοι φαίνονται ἑκάστου μία ἰδία, ἐπιθυμίαι τε ὡσαύτως καὶ ἀρχαί... Τὸ μὲν γάρ ἐστιν ᾧ μανθάνει ἄνθρωπος, τὸ δὲ ᾧ θυμοῦται, τὸ δὲ τρίτον διὰ πολυειδίαν, ἐνὶ οὐκ ἔχομεν ὀνόματι προσειπεῖν ἰδίᾳ αὐτοῦ, ἀλλ' ὃ μέγιστον καὶ ἰσχυρότατον ἔσχεν ἐν ἑαυτῷ, τούτῳ ἐπωνομάσαμεν· ἐπιθυμητικὸν γὰρ αὐτὸ κεκλήκαμεν». Αὐτὸ τοῦτο λέγει καὶ ὁ Λαέρτιος εἰς τὸν βίον τοῦ Πλάτωνος.

(4) Ἀγκαλὰ καὶ ὁ Νεμέσιος Ἐπίσκοπος λέγει· «Οὐ γὰρ, ὡς

πὸν, καθὼς κοντὰ εἰς τοὺς ἰατροὺς ἀναγκαιοτάτη λογίζεται ἡ μάθησις τοῦ ἰδιώματος τῶν τεσσάρων στοιχείων, οἷον τοῦ θερμοῦ, ψυχροῦ, ξηροῦ καὶ ὑγροῦ, διὰ νὰ ἠμποροῦν μὲ τὴν μάθησιν ταύτην νὰ διορθώνουσι τὴν παρὰ φύσιν κίνησιν καὶ ἀταξίαν αὐτῶν, τοιουτοτρόπως κοντὰ εἰς τοὺς Πνευματικοὺς ἰατροὺς ἀναγκαία εἶναι καὶ ἡ καθολικὴ καὶ στοιχειώδης μάθησις τῶν εἰρημένων τριῶν μερῶν τῆς ψυχῆς, διὰ νὰ ἰατρεύουν ἁρμοδίως τὰ πάθη αὐτῆς. Τοῦ λογιστικοῦ μέρους λοιπὸν ἀρεταὶ μὲν εἶναι ἡ πρὸς Θεὸν εὐσέβεια καὶ πίστις, ἡ τοῦ καλοῦ καὶ κακοῦ διάκρισις, ἡ διακεκριμένη καὶ ἀσύγχυτος γνῶσις καὶ δόξα τῆς τῶν ὄντων φύσεως, ἥτις παστρικὰ καὶ καθαρὰ γνωρίζει, ποῖον ἀπὸ τὰ ὄντα πρέπει ἀληθῶς νὰ ἀγαπᾶται, καὶ ποῖον πρέπει νὰ μισῆται καὶ νὰ ἀποστρέφεται. Κακίαι δὲ ἐξ ἐναντίας αὐτοῦ εἶναι, ἡ πρὸς Θεὸν ἀσέβεια καὶ ἀπιστία, ἡ ἀδιακρισία καὶ σφαλερὰ γνῶσις τοῦ ἀληθινοῦ καλοῦ καὶ κακοῦ, ἥτις λογιάζει μὲν τὸ φῶς ὡσὰν σκότος, τὸ δὲ σκότος ὡσὰν φῶς, ἤτοι τὴν ἀρετὴν ὡς κακίαν, καὶ τὴν κακίαν ὡς ἀρετὴν, τὸ ὁποῖον ταλανίζει ὁ Ἡσαΐας. Τοῦ δὲ ἐπιθυμητικοῦ μέρους, ἀρετὴ μὲν εἶναι τὸ νὰ ἀναβιβάζῃ τὸν πόθον πρὸς τὸ ἀληθῶς ἐπιθυμητὸν καλὸν, καὶ ὅλην τὴν ἀγαπητικήν του δύναμιν νὰ τὴν εὐκαιρώνῃ εἰς αὐτὸ, μὲ τὸ νὰ ἦναι πεπεισμένον ὅτι ἄλλο πρᾶγμα δὲν εἶναι φυσικὰ ἐπιθυμητὸν, πάρεξ ἡ ἀρετὴ καὶ ὁ πάσης ἀρετῆς αἴτιος Θεός. Κακίαι δὲ τούτου εἶναι, ὅταν μεταφέρῃ τὴν ἐπιθυμίαν πρὸς τὴν φιλοδοξίαν, πρὸς τὰ κάλλη τῶν σωμάτων, πρὸς τὴν φιλαργυρίαν, πρὸς τὴν φιληδονίαν καὶ πρὸς τὰ ἄλλα παρόμοια. Τοῦ δὲ θυμικοῦ μέρους, ἀρεταὶ μὲν εἶναι τὸ μῖσος πρὸς τὴν ἁμαρτίαν, ὁ πρὸς τὰ πάθη πόλεμος, ἡ ψυχικὴ ἀνδρεία, ἡ ὁποία δὲν φοβεῖται τὰ εἰς τοὺς ἄλλους φοβερὰ, ἀλλ' ἐναντιόνεται μέχρις αἵματος πρὸς τὴν ἁμαρτίαν, τὸ νὰ καταφρονῇ ὅλα τὰ βάσανα καὶ τοὺς πόνους, ὅταν ὑπὲρ πίστεως καὶ ἀρετῆς μάχεται. Κακίαι δὲ αὐτοῦ εἶναι ὁ φθόνος, τὸ πρὸς τὸν πλησίον μῖσος, αἱ φιλονεικίαι, αἱ ὕβρεις, αἱ μνησικακίαι, ἡ ἐκδικητικὴ διάθεσις, ἥτις ἐκρήμνισε πολλοὺς καὶ εἰς φόνους καὶ αἵματα. Ἔτσι ὁ θυμὸς ὁποῦ ἐδόθη εἰς τὸν ἄνθρωπον παρὰ Θεοῦ ἅρμα βοηθητικὸν, γίνεται ἅρμα ἀφανιστικὸν εἰς ἐκεῖνον ὁποῦ κακῶς τοῦτο μεταχειρίζεται.

ΚΑΝΩΝ Β'.

Τούτων τοίνυν κατὰ τὸν εἰρημένον διευκρινηθέντων τρόπον, ὅσα μὲν ἁμαρτήματα τοῦ λογιστικοῦ τῆς ψυχῆς ἅπτεται μέρους, χαλεπώτερα παρὰ τῶν Πατέρων ἐκρίθη, καὶ μείζονος καὶ διαρκεστέρας καὶ ἐπιπονωτέρας τῆς ἐπιστροφῆς ἄξια· οἷον, εἴ τις ἠρνήσατο τὴν εἰς Χριστὸν πίστιν, ἢ πρὸς Ἰουδαϊσμὸν, ἢ πρὸς εἰδωλολατρείαν, ἢ πρὸς Μανιχαϊσμὸν, ἢ πρὸς ἄλλο τι τοιοῦτο ὁρμήσας κακὸν, εἶτα καταγνοὺς ἑαυτοῦ, χρόνον τῆς μετανοίας ἔχει ὅλον τὸν τῆς ζωῆς αὐτοῦ χρόνον. Οὐδέποτε γὰρ, μυστικῆς ἐπιτελουμένης εὐχῆς, μετὰ τοῦ λαοῦ προσκυνῆσαι τὸν Θεὸν καταξιοῦται, ἀλλὰ κατὰ μόνας μὲν εὔξεται, τῆς δὲ κοινωνίας τῶν Ἁγιασμάτων καθόλου ἀλλότριος ἔσται· ἐν δὲ τῇ ὥρᾳ τῆς ἐξόδου αὐτοῦ, τότε τῆς τοῦ Ἁγιασμοῦ μερίδος ἀξιωθήσεται. Εἰ δὲ συμβαίη παρ' ἐλπίδα ζῆσαι αὐτὸν, πάλιν ἐν τῷ αὐτῷ κρίματι διαβιώσεται, ἀμέτοχος τῶν μυστικῶν Ἁγιασμάτων μέχρι τῆς ἐξόδου γενόμενος. Οἱ δὲ βασάνοις καὶ τιμωρίαις χαλεπαῖς αἰκισθέντες, ἐν ῥητῷ χρόνῳ ἐπετιμήθησαν, οὕτω φιλανθρωπίᾳ, ἐπ' αὐτῶν χρησαμένων τῶν ἁγίων Πατέρων, ὡς οὐ ψυχῆς γενομένης ἐν πτώματι, ἀλλὰ τῆς σωματικῆς ἀσθενείας πρὸς τὰς αἰκίας οὐκ ἀντισχούσης· δι' ὃ τῷ μέτρῳ τῶν ἐν πορνείᾳ πλημμεληκότων, καὶ ἡ βεβιασμένη τε καὶ ἐπώδυνος παράβασις ἐν τῇ ἐπιστροφῇ συνεμετρήθη.

Ἑρμηνεία.

Εἰπὼν εἰς τὸν προλαβόντα Κανόνα ὁ Ἅγιος τὰς κακίας τοῦ κάθε μέρους τῆς ψυχῆς, τώρα εἰς τὸν παρόντα καὶ περὶ τῶν ἐπιτιμίων διαλαμβάνει τῶν αὐτῶν κακιῶν, λέγων· Ὅτι τὰ ἁμαρτήματα τοῦ λογιστικοῦ ἔκριναν οἱ Πατέρες χειρότερα ἀπὸ τὰ τῶν ἄλλων μερῶν, καὶ ἀκολούθως ἄξια περισσοτέρας καὶ ἐπιπονωτέρας μετανοίας καὶ ἱκανοποιήσεως. Παραδείγματος χάριν. Ἀνίσως τινὰς ἠρνήθη τὸν Χριστὸν καὶ ἔγεινεν Ἑβραῖος, ἢ εἰδωλολάτρης, ἢ Μανιχαῖος, ἢ ἄλλο τι τοιοῦτο, εἰ μὲν αὐτὸς ἀπὸ λόγου του τοῦτο ἔκαμε, χωρὶς ἀνάγκην καὶ βίαν, οὗτος ἀφ' οὗ ἐπιστρέψῃ πάλιν πρὸς τὴν εὐσέβειαν, ὅλην του τὴν ζωὴν ἔχει Κανόνα μετανοίας, καὶ ποτὲ δὲν θέλει συμπροσευχηθῆ μὲ τοὺς πιστοὺς ἐν τῇ Ἐκκλησίᾳ, ἀλλ' ἔξω τῆς Ἐκκλησίας μετὰ τῶν κατηχουμένων, οὐδὲ θέλει ἀξιωθῆ νὰ κοινωνήσῃ τὰ θεῖα Μυστήρια, πάρεξ μοναχὰ εἰς τὸ τέλος τῆς ζωῆς του· εἰ δὲ καὶ κινδυνεύσας εἰς θάνατον μεταλάβῃ, πάλιν ἀφ' οὗ ὑγιάνῃ, εἰς τὸν αὐτὸν Κανόνα εὑρίσκεται, μὴ κοινωνῶν μέχρι τέλους ζωῆς του (1)· ὅσοι δὲ ἀπὸ βάσανα καὶ τιμωρίας ἠρνήθησαν τὸν Χριστὸν, ὁμοίως μὲ τοὺς πόρνους ἐκανονίσθησαν ἀπὸ τοὺς Πατέρας, ἤτοι ἐννέα χρόνους νὰ μὴ κοινωνήσουν. Ἔκαμαν γὰρ φιλανθρωπίαν εἰς αὐτοὺς, διατὶ δὲν ἠρνήθησαν ἀπὸ τὴν προαίρεσίν των, ἀλλὰ ἀπὸ τὴν ἀσθένειαν τῆς σαρκὸς, ὁποῦ δὲν ὑπέφερε τὰς βασάνους. Ὅρα τὸν ιά. τῆς ά.

ΚΑΝΩΝ Γ'.

Οἱ δὲ πρὸς γόητας ἀπιόντες, ἢ μάντεις, ἢ τοὺς διὰ δαιμόνων καθάρσιά τινα καὶ ἀποτροπιασμοὺς

οἵονταί τινες, τὸ θερμανθὲν σῶμα καταψύξαι πρόκειται τοῖς ἰα- | Συναίτῃ σελ. 105).
τροῖς, ἀλλ' εἰς τὸ εὔκρατον μεταποιῆσαι (παρὰ Ἀναστ. τῷ | (1) Καὶ ὅρα περὶ τούτου τὸν ιγ'. τῆς ά.

ἐνεργεῖν ὑπισχνουμένους, οὗτοι ἐρωτῶνται δι' ἀκριβείας καὶ ἀνακρίνονται, πότερον ; ἐπιμένοντες τῇ εἰς Χριστὸν πίστει ὑπ' ἀνάγκης τινὸς συνηνέχθησαν ἐκείνῃ τῇ ἁμαρτίᾳ, κακώσεώς τινος, ἢ ἀφορήτου ζημίας ταύτην αὐτοῖς τὴν ὁρμὴν ἐμποιησάσης, ἢ καθ' ὅλου καταφρονήσαντες τοῦ πεπιστευμένου παρ' ἡμῶν μαρτυρίου, τῇ τῶν δαιμόνων συμμαχίᾳ προσέδραμον ; Εἰ μὲν γὰρ ἐπὶ ἀθετήσει τῆς πίστεως, καὶ πρὸς τὸ μὴ πιστεύειν εἶναι Θεὸν τὸν παρὰ χριστιανοῖς προσκυνούμενον ἐκεῖνο ἐποίησαν, δηλαδὴ τῷ κρίματι τῶν παραβαινόντων ὑπαχθήσονται· εἰ δέ τις ἀβάστακτος ἀνάγκη κατακρατήσασα τῆς μικροψυχίας αὐτῶν, εἰς τοῦτο προήγαγε, διά τινος ἠπατημένης ἐλπίδος παρακρουσθέντας, ὡσαύτως ἔσται καὶ ἐπ' αὐτῶν ἡ φιλανθρωπία, καθ' ὁμοιότητα τῶν πρὸς τὰς βασάνους ἐν τῷ καιρῷ τῆς ὁμολογίας ἀντισχεῖν μὴ δυνηθέντων.

Ἑρμηνεία.

Τὰς γοητείας καὶ μαντείας κανονίζει ὁ Ἅγιος διὰ τοῦ Κανόνος τούτου, αἱ ὁποῖαι εἶναι ἁμαρτήματα τοῦ λογικοῦ, λέγων· Ὅποιοι πηγαίνουν πρὸς γόητας καὶ μάντεις, ἢ πρὸς ἐκείνους ὁποῦ ὑπόσχονται νὰ τοὺς καθαρίσουν μὲ τὴν ἐνέργειαν τῶν δαιμόνων ἀπὸ τὰς ἀσθενείας, ἢ δυστυχίας, ἢ βασκανίας, ἢ ἄλλα τινὰ κακὰ ὁποῦ πάσχουν, οὗτοι πρέπει νὰ ἐρωτῶνται, καὶ εἰ μὲν ἐπιμένοντες εἰς τὴν πίστιν τοῦ Χριστοῦ, διὰ δὲ τὴν ἀνάγκην ἀσθενείας τινὸς, ἢ ζημίας μεγάλης ἐμικροψύχησαν καὶ ἔκαμαν τοῦτο, πλανηθέντες πῶς θέλουν ἐλευθερωθῇ ἐκ τούτων διὰ τῆς μαντείας κανονίζονται ὡς διὰ βασάνων ἀρνηθέντες τὸν Χριστόν, ἤτοι ἐννέα χρόνους. Εἰ δὲ ὡς ἀθετήσαντες τὴν πίστιν τοῦ Χριστοῦ καὶ καταφρονήσαντες τῆς βοηθείας τοῦ Θεοῦ τοῦ ὑπὸ Χριστιανῶν προσκυνουμένου, ἐπρόστρεξαν εἰς τὴν βοήθειαν τῶν δαιμόνων, νὰ κανονίζωνται ὡς οἱ θελληματικῶς ἀρνηθέντες τὸν Χριστόν. Ὅρα καὶ τὸν ξά. τῆς ς'.

ΚΑΝΩΝ Δ'.

Τῶν δὲ δι' ἐπιθυμίαν καὶ ἡδονὴν γενομένων ἁμαρτημάτων, τοιαύτη ἐστὶν ἡ διαίρεσις· τὸ μὲν γὰρ καλεῖται μοιχεία, τὸ δὲ πορνεία. Τισὶ μὲν οὖν τῶν ἀκριβεστέρων ἤρεσε, καὶ τὸ κατὰ πορνείαν πλημμέλημα μοιχείαν εἶναι νομίζειν· διότι μία ἐστὶν ἡ νόμιμος συζυγία, καὶ γυναικὸς πρὸς ἄνδρα. καὶ ἀνδρὸς πρὸς γυναῖκα. Πᾶν οὖν τὸ μὴ νόμιμον, παράνομον πάντως, καὶ ὁ μὴ τὸ ἴδιον ἔχων, δηλ. τὸ ἀλλότριον ἔχει. Τῷ γὰρ ἀνθρώπῳ μία δέδοται παρὰ τῷ Θεῷ βοηθὸς, [Γεν. β'. 20] καὶ τῇ γυναικὶ μία ἐφήρμοσται κεφαλή. «Οὐκοῦν, εἴ μέν τις τὸ ἴδιον αὐτοῦ σκεῦος [Α'. Θεσσαλ. δ'. 4. 5.] καθὼς ὀνομάζει ὁ θεῖος Παῦλος, ἑαυτῷ κτήσαιτο, συγχωρεῖ ὁ νόμος τῆς φύσεως τὴν δικαίαν χρῆσιν· εἰ δέ τις ἔξω τοῦ ἰδίου τραπείη, ἐν ἀλλοτρίῳ πάντως γενήσεται, ἀλλότριον δὲ ἑκάστῳ πᾶν τὸ μὴ ἴδιον, κἂν μὴ ὁμολογούμενον ἔχῃ τὸν κυριεύοντα.» Οὐκοῦν, οὐ πόρρω τοῦ κατὰ μοιχείαν πλημμελήματος καὶ ἡ πορνεία τοῖς τὸν ἀκριβέστερον ἐξετάζουσι λογισμὸν ἐδείχθη, λεγούσης καὶ τῆς θείας Γραφῆς, ὅτι, «μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν.» [Παροιμ. ε. 20]. Πλὴν ἀλλ' ἐπεὶ τοῖς ἀσθενεστέροις ἐγένετό τις παρὰ τῶν Πατέρων συμπεριφορὰ, διεκρίθη τὸ πλημμέλημα τῇ γενικῇ διαιρέσει ταύτῃ ὡς πορνείαν μὲν λέγεσθαι τὴν χωρὶς ἀδικίας ἑτέρου γινομένην τινὶ τῆς ἐπιθυμίας ἐκπλήρωσιν, μοιχείαν δὲ, τὴν ἐπιβουλήν τε καὶ ἀδικίαν τοῦ ἀλλοτρίου. Ἐν ταύτῃ δὲ καὶ τὴν ζωοφθορίαν καὶ παιδεραστίαν εἶναι λογίζονται, διότι καὶ ταῦτα φύσεώς ἐστι μοιχεία. Εἰς γὰρ τὸ ἀλλότριόν τι καὶ παρὰ φύσιν γίνεται ἡ ἀδικία. Ταύτης οὖν τῆς διαιρέσεως καὶ ἐν τούτῳ τῷ εἴδει τῆς ἁμαρτίας γεγενημένης καθολικὴ μέν ἐστι θεραπεία, τὸ τῆς ἐμπαθοῦς λύσσης τῆς περὶ τὰς τοιαύτας ἡδονὰς καθαρὸν ἐκ μεταμελείας γενέσθαι τὸν ἄνθρωπον. Ἐπεὶ δὲ τῶν ἐν πορνείᾳ μολυνθέντων ἀδικία τις τῇ ἁμαρτίᾳ ταύτῃ οὐ καταμέμικται, διὰ τοῦτο διπλασίων ὡρίσθη τῆς ἐπιστροφῆς ὁ χρόνος τοῖς ἐν μοιχείᾳ μιανθεῖσι, καὶ ἐν τοῖς ἄλλοις τοῖς ἀπηγορευμένοις κακοῖς· ζωοφθορία τε καὶ τῇ κατὰ τοῦ ἄρρενος λύσσῃ διπλασιάζεται γὰρ, ὡς εἶπον, ἐπὶ τῶν τοιούτων ἡ ἁμαρτία, μία μὲν ἡ κατὰ τὴν ἄθεσμον ἡδονὴν, ἑτέρα δὲ ἡ κατὰ τὴν ἀλλοτρίαν ἀδικίαν συνισταμένη. Διαφορὰ δέ ἐστιν ἐν τῷ λόγῳ τῆς μετανοίας, καὶ ἐπὶ τῶν καθ' ἡδονὴν πλημμελημάτων τοιαύτη. Ὁ μὲν γὰρ ἀφ' ἑαυτοῦ πρὸς τὴν ἐξαγόρευσιν τῶν ἁμαρτιῶν ὁρμήσας, αὐτῷ τῷ καταδέξασθαι δι' οἰκείας ὁρμῆς γενέσθαι τῶν κρυφίων κατήγορος, ὡς ἤδη τῆς θεραπείας τοῦ πάθους ἀρξάμενος, καὶ σημεῖον τῆς πρὸς τὸ κρεῖττον μεταβολῆς ἐπιδειξάμενος, ἐν φιλανθρωποτέροις γίνεται τοῖς ἐπιτιμίοις. Ὁ δὲ φωραθεὶς ἐπὶ τῷ κακῷ ἢ διά τινος ὑποψίας ἢ κατηγορίας ἀκουσίως ἀπελεγχθεὶς, ἐν ἐπιτεταμένῃ γίνεται τῇ ἐπιστροφῇ· ὥστε, καθαρισθέντα δι' ἀκριβείας αὐτὸν, οὕτως ἐπὶ τὴν τῶν Ἁγιασμάτων κοινωνίαν παραδεχθῆναι. Ἔστι τοίνυν ὁ Κανὼν τοιοῦτος, ὥστε τοὺς ἐν πορνείᾳ μολυνθέντας, ἐν τρισὶ μὲν ἔτεσι μετὰ τῶν ἐν ἐπιστροφῇ ὑποπιπτόντων προσεύχεσθαι καὶ τότε μετέχειν τῶν Ἁγιασμάτων· ἐπὶ δὲ τῶν σπουδαιοτέρᾳ κεχρημένων τῇ ἐπιστροφῇ καὶ τῷ βίῳ δεικνύντων τὴν πρὸς τὸ ἀγαθὸν ἐπάνοδον, ἔξεστι τῷ οἰκονομοῦντι πρὸς τὸ συμφέρον τῇ ἐκκλησιαστικῇ οἰκονομίᾳ, συντεμεῖν τὸν χρόνον τῆς ἀκροάσεως καὶ τάχιον εἰς ἐπιστροφὴν ἀγαγεῖν· καὶ πάλιν καὶ τοῦτον συντεμεῖν τὸν χρόνον καὶ τάχιον ἀποδοῦναι τῇ Κοινωνίᾳ, ὅπως ἂν τῇ ἑαυτοῦ δοκιμασίᾳ ἐγκρίνῃ τὴν τοῦ θερα-

πευομένου κατάστασιν [Ματθ. ζ' 6]. Ὥσπερ γὰρ τὸ τοῖς χοίροις ρίπτειν τὸν μαργαρίτην ἀπείρηται, οὕτω τὸ ἀποστερεῖν τοῦ τιμίου Μαργαρίτου τὸν ἠδη ἄνθρωπον, διὰ τῆς ἀπαθείας τε καὶ καθαρότητος γενόμενον, τῶν ἀτόπων ἐστίν. Ἡ δὲ κατὰ τὴν μοιχείαν, ἤτοι κατὰ τὰ λοιπὰ εἴδη τῆς ἀκαθαρσίας γενομένη παρανομία, καθὼς προείρηται κατὰ πάντα ἐν τῷ αὐτῷ κρίματι θεραπευθήσεται ἐν ᾧ καὶ τὸ τῆς πορνείας ἄγος, τῷ δὲ χρόνῳ διπλασιάζεται. Παρατηρηθήσεται δὲ ἐπ' αὐτῷ ἡ τοῦ θεραπευομένου διάθεσις, ὃν τρόπον καὶ ἐπὶ τῶν τῷ μολυσμῷ τῆς πορνείας συνενεχθέντων, ὥστε, ἢ θᾶττον, ἢ βραδύτερον γενέσθαι αὐτοῖς τὴν τοῦ ἀγαθοῦ μετουσίαν.

Ἑρμηνεία.

Περὶ ἐπιτιμίων τοῦ ἐπιθυμητικοῦ μέρους τῶν ἁμαρτημάτων εἰς τὸν κανόνα τοῦτον διορίζει ὁ Ἅγιος, καὶ πρῶτον περὶ τῆς πορνείας, λέγων ὅτι οἱ ἀκριβέστεροι καὶ διακριτικώτεροι λέγουσιν, ὅτι καὶ ἡ πορνεία ὡς μοιχεία λογίζεται, μὲ τοιαύτην ἀπόδειξιν. Διότι, ἂν ἡ μοιχεία εἶναι ἁμαρτία πρὸς ξένην γυναῖκα, κατὰ τοῦτον τὸν λόγον καὶ ἡ πορνεία πρὸς ξένην γυναῖκα γινομένη ὡς μοιχία λογίζεται. Μία γὰρ εἶναι ἡ νόμιμος συζυγία καὶ μίξις γυναικὸς πρὸς ἄνδρα, καὶ ἀνδρὸς πρὸς γυναῖκα, ἥτις γίνεται πρὸς ἐδικόν του σῶμα· κάθε δὲ ἄλλη μίξις, ἔξω ἀπὸ αὐτήν, παράνομος εἶναι, καὶ ἀκολούθως οὐδὲ πρὸς ἴδιον σῶμα γίνεται, ἀλλὰ πρὸς ξένον, ἐπειδὴ ἀπ' ἀρχῆς ὁ Θεὸς μίαν γυναῖκα ἔδωκεν εἰς τὸν ἄνδρα, καὶ ἕνα ἄνδρα εἰς τὴν γυναῖκα. Καὶ λοιπόν, ἂν ἔχῃ τινὰς ἐδικόν του σκεῦος (καθὼς λέγει ὁ Παῦλος), ἤτοι γυναῖκα, εἶναι συγκεχωρημένον νὰ σμίγῃ μὲ αὐτό· εἰ δὲ ἔξω ἀπὸ τὸ ἐδικόν του σμίξῃ μὲ ἄλλο, βέβαια μὲ ξένον σῶμα σμίγει, κἂν καὶ αὐτὸ ὡρισμένον καὶ φανερὸν οἰκοκυρὴν δὲν ἔχῃ. Ἀλλὰ μὴν ταῦτα πάντα εἰς τὴν πορνείαν ἀκολουθοῦσι, λοιπὸν ἡ πορνεία, κατὰ τὴν ἀπόδειξιν ταύτην, δὲν εἶναι μακρὰν ἀπὸ τὴν μοιχείαν, καὶ μάλιστα ὁποῦ λέγει ὁ Σολομών, «μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν»· ἤτοι μὴ γίνεσαι ἔκδοτος εἰς ξένην γυναῖκα, πόρνην δηλ. Πλὴν μὲ ὅλα ταῦτα οἱ Πατέρες συγκαταβαίνοντες, πορνείαν μὲν λέγουσι τὴν ἁμαρτίαν ὁποῦ γένῃ εἰς γυναῖκα ἐλευθέραν ἀπὸ ἄνδρα· ὅθεν καὶ συγκαταβατικώτερον ἀπὸ τὴν μοιχείαν αὐτὴν ἐκανόνισαν, εἰς ἐννέα χρόνους δηλ. τρεῖς μὲν χρόνους διορίσαντες τοὺς πορνεύσαντας νὰ προσκλαίουν ἔξω τοῦ νάρθηκος, τρεῖς δὲ χρόνους νὰ ἀκροάζωνται, καὶ ἄλλους τρεῖς νὰ ὑποπίπτουν, καὶ ἔπειτα νὰ μεταλαμβάνουν (ὅρα καὶ τὸν κβ'. Βασιλείου)· εἶναι ὅμως ἄδεια εἰς τὸν Πνευματικὸν ἰκτρὸν νὰ συντέμνῃ μὲν τοὺς χρόνους τῆς ἀκροάσεως εἰς ἐκείνους τοὺς πόρνους ὁποῦ προθυμότερα μετανοοῦν, νὰ συντέμνῃ δὲ καὶ τοὺς χρόνους τῆς ὑποπτώσεως, καὶ νὰ φέρνῃ αὐτοὺς ταχύτερα εἰς τὴν μετάληψιν τῶν Μυστηρίων, καθὼς ἤθελε γνωρίσει τὴν διάθεσιν τοῦ μετανοοῦντος. Διότι, καθὼς εἶναι ἄτοπον νὰ ῥίπτῃ τινὰς τοὺς μαργαρίτας τὰ ἅγια μυστήρια δηλαδή, εἰς τοὺς χοίρους, εἰς τοὺς ἀκαθάρτους δηλαδὴ καὶ μὴ γνησίως μετανοοῦντας, ἔτσι εἶναι ἄτοπον νὰ ἀποστερῇ ἀπὸ τὸν τίμιον Μαργαρίτην, ἤτοι τὸ σῶμα τοῦ Χριστοῦ, τὸν διὰ τῆς ἀποχῆς τοῦ κακοῦ καὶ τῆς μετανοίας καθαρισθέντα καὶ ἀπὸ χοίρου γεγονότα ἄνθρωπον. Καὶ ταῦτα μὲν περὶ τῆς πορνείας. Τὴν δὲ μοιχείαν, ἀσενοκοιτίαν καὶ κτηνοβατίαν, διπλῶς ἐκανόνισαν οἱ Πατέρες ἀπὸ τὴν πορνείαν, ἤτοι δεκαοκτὼ χρόνους τὴν κάθε μίαν, ἐπειδὴ καὶ ἡ ἁμαρτία ὁποῦ δι' αὐτῶν γίνεται εἶναι διπλῆ. Ἡ μὲν γὰρ μοιχεία κοντὰ εἰς τὴν ἄθεσμον ἡδονὴν ὁποῦ ἐργάζεται, ἀδικεῖ καὶ τὸν ἄνδρα τῆς παρ' αὐτοῦ μοιχευθείσης γυναικὸς, διατὶ οἰκειοποιεῖται ἀδίκως τὸ ἐδικόν του πρᾶγμα, τὴν γυναῖκά του δηλ., ἡ δὲ ἀρσενοκοιτία καὶ κτηνοβατία καὶ αὐταὶ ὁμοίως κοντὰ εἰς τὴν ἄθεσμον ἡδονὴν ὁποῦ ἐνεργοῦν, εἶναι καὶ ἀδικία εἰς τὸ ξένον καὶ παρὰ φύσιν, ἤτοι ἀδικοῦσι τοὺς νόμους τῆς φύσεως, ὡς παρὰ φύσιν ὄντα ἁμαρτήματα. Οἱ χρόνοι δὲ ἑκάστου τῶν τοιούτων ἁμαρτημάτων οἰκονομοῦνται παρομοίως μὲ τοὺς τῆς πορνείας διπλασίως ὅμως, ἤτοι ἓξ χρόνους νὰ προσκλαίουν οἱ μοιχοὶ, καὶ ἀρτενοκοῖται, καὶ κτηνοβάται ἔξω τῆς Ἐκκλησίας, ἓξ νὰ ἀκροῶνται, ἓξ νὰ ὑποπίπτουσι, καὶ οὕτω νὰ μεταλαμβάνουν. Πλὴν ἔχει νὰ παρατηρῆται ἀπὸ τὸν Πνευματικὸν καὶ ἡ διάθεσις τῶν τοιούτων, ὡς καὶ τῶν πόρνων, ὥστε, εἰ μὲν προθυμότερα μετανοοῦν, ταχύτερα νὰ τοὺς συγχωρῇ νὰ μεταλαμβάνουν, εἰ δὲ ἀμελέστερα ἐπιστρέφουν, ἀργότερα ἀκόμη καὶ ἀπὸ τοὺς δεκαοκτὼ χρόνους νὰ μὴ τοὺς ἀφίνῃ νὰ κοινωνοῦν. Καθολικὴ δὲ ἐκτροπὴ, καὶ πόρνων καὶ μοιχῶν καὶ ἀρσενοκοιτῶν καὶ κτηνοβατῶν, εἶναι τὸ νὰ κάμουν ἀποχὴν τελείαν ἀπὸ τὰς τοιαύτας ἡδονὰς καὶ νὰ μετανοήσουν. Εἶναι δὲ καὶ διαφορὰ ἀνάμεσα εἰς τὸν τρόπον τῆς ἐξομολογήσεως τῶν τοιούτων ἁμαρτωλῶν· διότι, ἐκεῖνος μὲν ὁποῦ ἀφ' ἑαυτοῦ του ὑπάγῃ καὶ ἐξομολογηθῇ, φιλανθρωπότερα καὶ ἐλαφρότερα κανονίζεται, μὲ τὸ νὰ στέρξῃ αὐτὸς ἀπὸ λόγου του νὰ κατηγορήσῃ τὸν ἑαυτόν του, καὶ νὰ δείξῃ σημάδι μεταβολῆς εἰς τὸ καλήτερον, ἐκεῖνος δὲ ὁποῦ ἀρνούμενος πρότερον, ἐλεγχθῇ ὕστερον πῶς ἥμαρτεν, εἴτε διὰ ὑποψίας, εἴτε διὰ κατηγορίας τινῶν, οὗτος βαρύτερα καὶ πολυχρονιώτερα κανονίζεται. Ὅρα τὸν ις'. καὶ κ'. τῆς ἐν Ἀγκύρᾳ καὶ τὸν ζ'. τοῦ Βασιλείου καὶ τὸν ιβ'. τῆς α'. κατὰ τὴν μετάνοιαν τοῦ ἁμαρτάνοντος διορίζοντα νὰ γίνηται καὶ ἡ συγκατάβασις.

ΚΑΝΩΝ Ε'.

Λείπεται πρὸς τούτοις τὸ θυμοειδὲς τῆς ψυχῆς προθεῖναι εἰς ἐξέτασιν, ὅταν παρασφαλεῖσα τῆς ἀγαθῆς τοῦ θυμοῦ χρήσεως, εἰς ἁμαρτίαν ἐκπέσῃ. Πολλῶν δὲ ὄντων τῶν κατὰ θυμὸν εἰς ἁμαρτίαν ἐνεργουμένων, καὶ πάντων κακῶν, ἤρεσέ πως τοῖς Πατράσιν ἡμῶν ἐν τοῖς ἄλλοις μὴ λίαν ἀκριβολογεῖσθαι, μηδὲ πολλῆς ἄξιον ἡγεῖσθαι σπουδῆς, τὸ θεραπεύειν πάντα τὰ ἐκ τοῦ θυμοῦ παραπτώματα. Καίτοι γε τῆς Γραφῆς οὐ μόνον τὴν ψιλὴν ἀπαγορευούσης πληγὴν, ἀλλὰ καὶ πᾶσαν λοιδορίαν ἢ βλασφημίαν, καὶ

εἴ τι ἄλλο τοιοῦτο ὁ θυμὸς κατεργάζεται. [Κολασ. γ'. 8. Ἐφ. δ'. 31.] Μόνου δὲ τοῦ κατὰ φόνον ἄγους τὴν παραφυλακὴν ἐποιήσατο διὰ τῶν ἐπιτιμίων. Διήρηται δὲ τὸ τοιοῦτο κακὸν τῇ διαφορᾷ τοῦ ἑκουσίου τε καὶ ἀκουσίου, ἐν οἷς ἑκούσιος φόνος ἐστί. πρῶτον μὲν ὁ ἐκ παρασκευῆς τετολμημένος τοῦ εἰς αὐτὸ τοῦτο εὐτρεπισαμένου, ὅπως ἂν ἄγος ἐργάσηται, ἔπειτα δὲ κἀκεῖνος ἐν τοῖς ἑκουσίοις ἐνομίσθη, ὅταν τις ἐν συμπλοκῇ τύπτων τε καὶ τυπτόμενος, ἐνέγκῃ κατά τινος καιρίου τὴν διὰ τῆς χειρὸς πληγήν. Ὁ γὰρ ἄπαξ τῷ θυμῷ κρατηθείς, καὶ τῇ ὁρμῇ τῆς ὀργῆς χαριζόμενος, οὐδὲν ἂν παρὰ τὸν καιρὸν τοῦ πάθους τῶν ἀνακόψαι τὸ κακὸν δυναμένων ἐπὶ νοῦν λάβοι, ὥστε τὸ ἐκ τῆς συμπλοκῆς ἀποτέλεσμα τοῦ φόνου εἰς ἔργον αἱρέσεως, καὶ οὐκ εἰς ἀποτυχίαν ἀνάγεται. Οἱ δὲ ἀκούσιοι φανερὰ ἔχουσι τὰ γνωρίσματα, ὅταν τις πρὸς ἕτερόν τι τὴν σπουδὴν ἔχων, ἐξ ἀποτυχίας τι τῶν ἀνηκέστων δράσῃ. Ἐπὶ τούτων τοίνυν, ὁ μὲν ἑκούσιος φόνος εἰς τριπλασίονα χρόνον παρατείνεται τοῖς δι' ἐπιστροφῆς θεραπευομένοις τὸ ἀκούσιον ἄγος. Τρὶς ἐννέα γάρ εἰσιν ἑνιαυτοί, καθ' ἕκαστον βαθμὸν τῆς ἐννάδος τῶν ἐτῶν ὁρισθείσης, ὥστε ἐν μὲν τῷ παντελεῖ ἀφορισμῷ ἐννεαετῆ χρόνον διαγενέσθαι ἀπειργόμενον τῆς Ἐκκλησίας, ἄλλα δὲ τοσαῦτα ἔτη ἐν τῇ ἀκροάσει παραμεῖναι, μόνον τῆς τῶν διδασκάλων καὶ τῆς τῶν Γραφῶν ἀκροάσεως ἀξιούμενον, ἐν δὲ τῇ τρίτῃ ἐννάδι μετὰ τῶν ὑποπιπτόντων ἐν ἐπιστροφῇ προσευχόμενον, οὕτως ἐλθεῖν ἐπὶ τὴν μετουσίαν τοῦ Ἁγιάσματος. Δηλονότι καὶ ἐπὶ τοῦ τοιούτου ἡ αὐτὴ παρατήρησις ἔσται παρὰ τοῦ οἰκονομοῦντος τὴν Ἐκκλησίαν, καὶ πρὸς τὸν λόγον τῆς ἐπιστροφῆς συντμηθήσεται αὐτῷ καὶ ἡ τοῦ ἐπιτιμίου παράτασις, ὥστε, ἀντὶ ἐννέα ἐτῶν ἑφ' ἑκάστῳ βαθμῷ, ἢ ὀκτώ, ἢ ἑπτά, ἢ ἕξ, ἢ πέντε μόνα γενέσθαι, εἴπερ τὸ μέγεθος τῆς ἐπιστροφῆς νικήσῃ τὸν χρόνον, ὑπερβάλλοι τῇ σπουδῇ τῆς διορθώσεως τοὺς ἐν τῇ μακρᾷ προθεσμίᾳ ῥᾳθυμότερον ἑαυτοὺς ἀπὸ τῶν κηλίδων καθαίροντας. Τὸ δὲ ἀκούσιον ἄγος, συγγνωστὸν μέν, οὐ μὴν ἐπαινετὸν ἐκρίθη. Τοῦτο δὲ εἶπον, ὥστε δῆλον γενέσθαι ὅτι, κἂν ἀκουσίως τις γένηται ἐν τῷ τοῦ φόνου μιάσματι, ὡς ἤδη βέβηλον αὐτὸν ὑπὸ τοῦ ἄγους γινόμενον, ἀπόβλητον ὁ Κανὼν ἱερατικῆς χάριτος ἀπεφήνατο. Ὅσος δέ ἐστιν ἐπὶ τῇ ψιλῇ πορνείᾳ τοῦ καθαρσίου ὁ χρόνος, τοσοῦτος καὶ ἐπὶ τῶν ἀκουσίως πεφονευκότων ἐδοκιμάσθη καλῶς ἔχειν, δηλαδὴ καὶ ἐν τούτοις τῆς προαιρέσεως τοῦ μετανοοῦντος δοκιμαζομένης· ὥστε εἰ ἀξιόπιστος γένοιτο ἡ ἐπιστροφὴ, μὴ παραφυλαχθῆναι τὸν ἀριθμὸν τῶν ἐτῶν, ἀλλὰ διὰ συντομίαν ἀγαγεῖν αὐτὸν εἰς τὴν τῆς Ἐκκλησίας ἀποκατάστασιν καὶ εἰς τὴν τοῦ ἀγαθοῦ μετουσίαν. Εἰ δέ τις μὲν μὴ πληρώσας τὸν χρόνον τὸν ἐκ τῶν Κανόνων ἀφωρισμένον, ἐξοδεύοι τοῦ βίου, κελεύει ἡ τῶν Πατέρων φιλανθρωπία, μετασχόντα τῶν Ἁγιασμάτων, μὴ κενὸν τοῦ ἐφοδίου πρὸς τὴν ἐσχάτην ἐκείνην καὶ μακρὰν ἀποδημίαν ἐκπεμφθῆναι. Εἰ δὲ μετασχὼν τοῦ Ἁγιάσματος, πάλιν εἰς τὴν ζωὴν ἐπανέλθοι, ἀναμένειν τὸν τεταγμένον χρόνον, ἐν ἐκείνῳ τῷ βαθμῷ γενόμενον, ἐν ᾧ ἦν πρὸ τῆς κατὰ ἀνάγκην αὐτῷ δοθείσης Κοινωνίας.

Ἑρμηνεία.

Περὶ τῶν ἐπιτιμίων τῶν ἁμαρτημάτων τοῦ τρίτου, ἤτοι τοῦ θυμικοῦ μέρους τῆς ψυχῆς, ὁ παρὼν Κανὼν διορίζει, λέγων ὅτι τὰ μὲν ἄλλα ἁμαρτήματα ὁποῦ γεννῶνται ἀπὸ τὸ θυμικὸν μέρος, οἱ Πατέρες δὲν ἔκριναν εὔλογον νὰ τὰ λεπτολογήσουν πολύ, καὶ ἀκολούθως τόσον πολλὰ δὲν ἐσπούδασαν νὰ τὰ ἰατρεύσουν μὲ ἐπιτίμια (καὶ μ' ὅλον ὁποῦ ἡ ἁγία Γραφὴ ἐμποδίζει, ὄχι μόνον καὶ τὸ ψιλὸν κτύπημα, ἀλλὰ καὶ κάθε λοιδορίαν καὶ βλασφημίαν, καὶ ὅ,τι ἄλλο τοιοῦτο γέννημα τοῦ θυμοῦ), ἀλλὰ μόνον τὸν φόνον ἱκανοποίησαν. Διαιρεῖται δὲ ὁ φόνος εἰς δύω, καὶ ἄλλος μὲν εἶναι θελληματικὸς καὶ ἑκούσιος, ἄλλος δὲ ἀκούσιος καὶ χωρὶς θελήματος. Καὶ θελληματικὸς μὲν φόνος εἶναι ἐκεῖνος, ὅταν φονεύσῃ τινὰς μὲ μελέτην καὶ προετοιμασίαν, θελληματικὸς φόνος ἀκόμη εἶναι καὶ ὅταν τινὰς μαχόμενος μὲ ἄλλον, καὶ κτυπῶντας καὶ κτυπούμενος, δώσῃ εἰς κανένα καίριον καὶ κινδυνώδες μέρος θανατηφόρον βάρεμα· διότι ἐκεῖνος ὁποῦ μίαν φορὰν κυριευθῇ ἀπὸ τὸν θυμὸν, δὲν συλλογίζεται πλέον οὔτε κινδυνώδες μέρος, οὔτε ἀκίνδυνον· ὅθεν καὶ ὁ ἐκ τῆς τοιαύτης μάχης γεννηθεὶς φόνος, προκριτικὸς καὶ θελληματικὸς εἶναι, καὶ ὄχι ἀκούσιος. Τοῦ δὲ ἀκουσίου φόνου σημάδια εἶναι, ὅταν ἄλλο τι σπουδάζωντας νὰ κάμῃ τινὰς, τύχῃ, χωρὶς νὰ θέλῃ καὶ κάμῃ φόνον· καθὼς, λόγου χάριν, ἐὰν ρίπτοντας τινὰς πέτραν εἰς δένδρον διὰ νὰ τινάξῃ τὸν καρπὸν, τύχῃ καὶ ἀπεράσῃ ἄνθρωπος ἐκεῖθεν καὶ τὸν φονεύσῃ. Λοιπὸν ὁ θελληματικῶς φονεύσας, εἰς τρεῖς ἐννέα, ἤτοι εἰς εἴκοσι ἑπτὰ χρόνους κανονίζεται, ἐννέα μὲν χρόνους μὲ τοὺς προσκλαίοντας, ἔξω τῆς θύρας τοῦ Νάρθηκος στεκόμενος, ἐννέα δὲ μὲ τοὺς ἀκροωμένους τῶν θείων Γραφῶν, καὶ ἐννέα μὲ τοὺς ὑποπίπτοντας, καὶ οὕτω νὰ μεταλαμβάνῃ. Πλὴν ὁ Πνευματικὸς ἰατρὸς κατὰ τὴν πρόθυμον μετάνοιαν τοῦ φονεύσαντος, ἔτσι πρέπει νὰ ὀλιγοστεύῃ καὶ τοὺς χρόνους τοῦ τοιούτου ἐπιτιμίου, ὥστε ὁποῦ τοὺς ἐννέα χρόνους τῆς κάθε τάξεως, τῆς προσκλαύσεως δηλαδὴ καὶ ἀκροάσεως καὶ ὑποπτώσεως, νὰ συντέμνῃ εἰς ὀκτὼ, ἢ ἑπτὰ, ἢ ἕξη, ἢ καὶ πέντε μόνον, ἂν ὁ φονεύσας δηλαδὴ μὲ τὸ μέγεθος τῆς μετανοίας του νικᾷ τὴν πολυκαιρίαν τῶν ἐπιτιμίων, καὶ ὀλιγοχρονιώτερα κανονιζόμενος, κάμνῃ καρποὺς τῆς μετανοίας περισσοτέρους ἀπὸ τοὺς πολυχρονιώτερα κανονιζομένους. Ὁ δὲ ἀκουσίως φονεύσας συγγνωστὸς μὲν εἶναι, ἀλλ' ὄχι καὶ ἐπαινετός. Ἀπόβλητος ὅμως ὁ τοιοῦτος καὶ ἀπὸ τὴν Ἱερωσύνην ἐστὶ (ἤτοι ὁποιος φονεύσῃ, κἂν στανικῶς καὶ ἀκουσίως, λαϊκὸς μὲν ὢν, οὐ γίνεται Ἱερεὺς, Ἱερεὺς δὲ ὤν, καθαιρεῖται) καὶ ἐννέα χρόνους κατὰ τὸν πόρνον κανο-

νίζεται. Ἐὰν δὲ καὶ τούτου ἡ μετάνοια ᾖναι γνησία καὶ πρόθυμος, ὀλιγοχρονιώτερα θέλει κανονίσει αὐτὸν ὁ Πνευματικός, καὶ συντομώτερα θέλει συγχωρήσει εἰς αὐτὸν νὰ μεταλάβῃ. Σημείωσαι ὅμως, ὅτι, ἂν τινας ἐκ τῶν μετανοούντων κινδυνεύῃ νὰ ἀποθάνῃ, πρὸ τοῦ νὰ τελειώσῃ τοὺς χρόνους τοῦ Κανόνος του, οὗτος συγχωρεῖται ἀπὸ τὴν φιλανθρωπίαν τῶν Πατέρων νὰ μεταλαμβάνῃ, διὰ νὰ μὴ μείνῃ ἔρημος ἀπὸ τὸ ἐφόδιον τῶν Μυστηρίων, τὸ ὁποῖον μεγάλως συμβάλλει πρὸς τὸ μακρὸν ἐκεῖνο διὰ τοῦ θανάτου ταξείδιον. Εἰ δὲ πάλιν ὑγιάνῃ, νὰ μενῃ ἀκοινώνητος, ἀκολουθῶν τοὺς χρόνους τοῦ ἐπιτιμίου, ἀπὸ ἐκεῖ ὁποῦ τοὺς ἄφησε πρὸ τοῦ νὰ μεταλάβῃ. Ὅρα τὸν ξς'. Ἀποστολικόν, τὸν ιβ'. καὶ ιγ'. τῆς ά. καὶ τὴν ἰχνογραφίαν τοῦ Ναοῦ.

ΚΑΝΩΝ ς'.

